τῇ παραλίᾳ τὰ ἀπὸ τοῦ Κανωβικοῦ στόματος μέχρι Καταβαθμοῦ καὶ τῆς Κυρηναίων ἐπικρατείας. Οἵ τε γὰρ ἀπὸ τοῦ Πτολεμαίου βασιλεῖς ἴσχυσαν ἐπὶ τοσοῦτον, οἵ γε καὶ τὴν Κυρηναίαν αὐτὴν κατέσχον, καὶ διενείμαντο πρὸς τὴν Αἴγυπτον καὶ τὴν Κύπρον. Ῥωμαῖοί τε οἱ διαδεξάμενοι τὴν ἐκείνων ἐπαρχίαν, κρίναντες τὴν Αἴγυπτον ἐν τοῖς αὐτοῖς ὅροις διεφύλαξαν. [6] Αὐάσεις δ' οἱ Αἰγύπτιοι καλοῦσι τὰς οἰκουμένας χώρας, περιεχομένας κύκλῳ μεγάλαις ἐρη-

Iurisconsulti, solitum in Aegypto nocentes, qui jure Romano essent in insulam relegandi, in Ouasin relegari. Vid. leg. VII. D. de interdictis et relegatis §. 5. *Casaubonus.* Ἀβάσεις legi vult in Strabone Pinedo in Stephanum p. 138. ubi plura de hac voce affert. Ἀβάσεις tuentur Strabonis codices, quos consuluit Siebenkeesius lib. 2. c. l. ad eandemque etiam ducunt nostri, qui Ἀνάσεις habent. Plura dabit Cellarius in Geogr. ant. lib. 4. c. 1. §. 12. p. m. 814. ubi Stephano adsentiri videtur. Tum ante τοσοῦτον in Medic. 3. 4. Ven. 1. Moscov. deest ἐπί.

6) Sic Paris. Ven. 1. 2. Vulgo in editt. Ἀνάσεις. Cf. supra. Post Ven. 1. ὑπ' αὐτῇ, quae particulae etiam alibi in hoc nexu commutantur. In fine cum Medic. 3. Moscov. usitata alibi forma dedi διέξιμεν, ut ex Paris. antea ἐλέγομεν pro λέγομεν.

quae vocantur, et in ora maritima ab ostio Canopico usque ad eum locum, qui Catabathmus dicitur, et Cyrenaeorum ditionem. Nam Ptolemaici reges eo usque dominationem protulerunt suam: ut et Cyrenaicam sub se haberent, et eam ab Aegypto Cyproque separarent. Romani, qui postea successerunt, provinciam Aegyptum prioribus finibus incluserunt. Avases Aegyptii regiones vocant habitatas et maximis desertis circumdatas, quasi quasdam pelagi insulas,

ἐρημίαις, ὡς ἂν νήσους πελαγίας· πολὺ δὲ τοῦτ' ἐστὶ κατὰ τὴν Λιβύην· τρεῖς δ' εἰσὶν αἱ πρόσχωροι τῇ Αἰγύπτῳ καὶ ἐπ' αὐτῇ τεταγμέναι. Τὰ μὲν οὖν καθ' ὅλου καὶ ἀνωτάτω περὶ τῆς Αἰγύπτου, ταῦτα ἐλέγομεν· τὰ καθ' ἕκαστα δὲ, καὶ τὰς ἀρετὰς αὐτῆς, νῦν διέξιμεν. Aegyptus.

§. 6.

Ἐπεὶ δὲ τὸ πλεῖστον τοῦ ἔργου τούτου καὶ τὸ κυριώτατον ἡ Ἀλεξάνδρειά ἐστι καὶ τὰ περὶ αὐτὴν, ἐντεῦθεν ἀρκτέον. Ἔστι τοίνυν ἡ ἀπὸ Πηλουσίου παραλία πρὸς τὴν ἑσπέραν πλέουσι, μέχρι μὲν τοῦ Κανωβικοῦ στόματος, [1] χιλίων που καὶ τριακοσίων σταδίων, ὃ δὴ καὶ βάσιν τοῦ Δέλτα ἔφαμεν· ἐντεῦθεν δ' ἐπὶ Φάρον τὴν νῆσον ἄλλοι στάδιοι πεντήκοντα

1) Scholion in margine Mosc. adscriptum legitur: ἄνω λέγει τρισχιλίων. Cf. p. 786. Casaub.

las, quales sunt multae ad Africam. Harum tres sunt Aegypto finitimae, et ei subditae. Diximus de Aegypto generalia, et e superioribus repetita temporibus singula, et quid quaeque habeant praeclari, deinceps enarrabimus.

§. 6.

Initium autem ab Alexandrea faciemus et locis ei vicinis: cum hujus tractationis praecipuam partem ea occupent. Ergo maritima ora a Pelusio usque ad Canopicum ostium, ad occidentem naviganti est CIↃ fere et CCC stadiorum, quod et basim ipsius Delta diximus. Hinc ad Pharum insulam centum et quinquaginta. Pharus insula quaedam est ob-

Aegyptus.

τα πρὸς τοῖς ἑκατόν. Ἡ δὲ Φάρος νησίον ἐςὶ παραμήκες [2] προσεχέςατον τῇ ἠπείρῳ, λιμένα πρὸς αὐτὴν ποιοῦν ἀμφίςομον. Ἠιὼν γάρ ἐςι κολπώδης, ἄκρας εἰς τὸ πέλαγος προβεβλημένη δύο· τούτων δὲ μεταξὺ ἡ νῆσος ἵδρυται κλείουσα τὸν κόλπον, παραβέβληται γὰρ αὐτῷ κατὰ μῆκος· τῶν δ' ἄκρων τῆς Φάρου τὸ μὲν οὖν ἑῷον μᾶλλόν ἐςι προσεχὲς τῇ ἠπείρῳ, καὶ τῇ κατ' αὐτὴν ἄκρᾳ· καλεῖται δ' ἡ Ἀκρολοχιὰς, καὶ ποιεῖ τὸν λιμένα [3] ἀρτίςομον πρὸς

2) Vulgo πρὸς ἔσχατον ἠπείρῳ. Lege προσεχέστατον τῇ ἠπείρῳ, quomodo aliquot jam locos emendavimus similiter affectos, ut sub finem lib. 15. et alibi. Eustathius tamen hunc locum proferens [ad Dionys. v. 258.] habet et ipse πρὸς ἔσχατα τῇ ἠπείρῳ, quod tamen me non movet, miror magis Eustathium, si ita scripsit, mendam non animadvertisse. Quid quod apud Dionys. Halicarnass. similis menda aliquot locis occurrit. *Casaubonus.* In voce ἔσχατα consentiunt etiam codices. Obsecutus tamen sum Casaubono. Praeterea Eustathius refert περίμηκες. In sequentibus, ubi idem emendaverat παραβέβληται γὰρ αὐτῷ pro αὐτὸν, consentientes habet Paris. Mosc. Ven. 1. 2. Medic. 3. 4. praeter ipsam rem.

3) Casaubonus ex MSStis enotat ἀμφίστομον, uti est in Ven. 2. Mei omnes cum editionibus habent ἀρτίστομον, qua voce usus est etiam lib. 5. p. m. 190. uti hic paullo antea alteram adhibuit. Ante Ἀκρόλοχιὰς articulum ponunt Medic. 3. 4. Paris. ex quibus addidi.

oblonga, quae continenti adjacet, ancipitem ad eam portum faciens. Est enim litus sinuosum, quod duo promontoria in mare emittit, inter quae insula jacet portum claudens, cui per longum obiicitur: de Phari promontoriis orientale magis continentem et oppositum sibi promontorium attingit, et Acrolochias

πρὸς δὲ τῇ στενότητι τοῦ μεταξὺ πόρου καὶ πέτραι εἰσὶν, αἱ μὲν ὕφαλοι, αἱ δὲ καὶ ἐξέχουσαι, τραχύνουσαι πᾶσαν ὥραν τὸ προσπίπτον ἐκ τοῦ πελάγους κλυδώνιον. Ἔστι δὲ καὶ αὐτὸ τὸ τῆς νησῖδος ἄκρον πέτρα [4] περίκλυστος, ἔχουσα πύργον θαυμαστῶς κατεσκευασμένον λευκοῦ λίθου πολυόροφον, ὁμώνυμον τῇ νήσῳ· τοῦτον δ' ἀνέθηκε Σώστρατος Κνίδιος φίλος τῶν βασιλέων, τῆς τῶν πλωϊζομένων σωτηρίας χάριν, ὥς φησιν ἡ ἐπιγραφή. Ἐπίγραμμα· ΣΩ΄ΣΤΡΑΤΟΣ ΚΝΙ΄ΔΙΟΣ ΔΕΞΙΦΑ΄ΝΟΥΣ, ΘΕΟΙ῀Σ ΣΩΤΗ῀ΡΣΙΝ ῾ΥΠΕ`Ρ ΤΩ῀Ν ΠΛΩΙ῀ΖΟΜΕ΄ΝΩΝ. Ἀλιμένου γὰρ οὔσης καὶ ταπεινῆς τῆς ἑκατέρωθεν παραλίας, ἐχούσης δὲ καὶ χοιράδας καὶ βράχη τινὰ, ἔδει σημείου Aegyptus.

4) Sic Casauboniani et mei omnes. Vulgo πολύκλυστος praeferunt editiones. Post Medic. 3. 4. omittunt vocem ἐπίγραμμα, quae in Paris. ad marginem erat adscripta. Tum pro οὐ μὴν ex Moscov. Medic. 3. 4. reposui οὐ μήν.

chias vocatur: quod portum efficit ore arcto. Accedit ad angustias portus, quod in intermedio freto petrae sunt, partim aquis opertae, partim eminentes, continue occurrentem ex pelago fluctum exasperantes. Ipsum adeo insulae promontorium est petra quaedam mari circumdata, turrim habens ex albo lapide mirifice structam multis fastigiis, eodem, quo insula, nomine. Eam Sostratus Cnidius, regum amicus, posuit ob navigantium salutem, quod hac descriptione notatur. SOSTRATUS CNIDIUS DEXIPHANIS F. DIIS SERVATORIBUS, PRO NAVIGANTIBUS. Nam cum ora ex utraque parte importuosa et humilis esset, cautes-

Aegyptus. σημείου τινὸς ὑψηλοῦ καὶ λαμπροῦ. τοῖς ἀπὸ τοῦ πελάγους προσπλέουσιν, ὥστ' εὐστοχεῖν τῆς εἰσβολῆς τοῦ λιμένος. Καὶ τὸ ἑσπέριον δὲ στόμα οὐκ εὐείσβολόν ἐστιν· οὐ μὴν τοσαύτης γε δεῖται προνοίας· ποιεῖ δὲ καὶ τοῦτο ἄλλον λιμένα τὸν τοῦ Εὐνόστου καλούμενον· πρόκειται δ' οὗτος τοῦ ὀρυκτοῦ καὶ κλειστοῦ λιμένος· ὁ μὲν γὰρ ἐκ τοῦ λεχθέντος πύργου [5] τῆς Φάρου τὸν εἴσπλουν ἔχων, ὁ μέγας ἐστὶ

5) Medic. 3. 4. τῆς Φάρου. Masculino tamen genere producunt etiam libri infra p. 794. ed. Cas. Cf. ad Melam 2, 7, 1. Tum pro ἐκείνῳ in Casaubonn. i. e. Ven. 2. legitur ἐκεῖ, et pro διαλείπουσα, quod praeferunt editiones, ex Moscov. Paris. Ven. 1. Medic. 3. 4. reposui ἀπολείπουσα. Ceterum totum locum ita constituit Valesius ad Ammianum 22, 16, 10. οὗτοι δὲ λιμένες συνεχεῖς ἐν βαθεῖ ἐκείνῳ τῷ ἑπτασταδίῳ καλουμένῳ χώματι διειργόμενοι ὑπ' αὐτοῦ παράκεινται. Postea Ἀλεξανδρείας, quod et confirmant codices temere, in Ἀλεξανδρείας mutavit ed. Amstelodamensis. Nec recte, certe ex usu, pro ἐγχιβαθὴς in Paris. et Ven. 2. legitur ἐγχιβαθές. Nec magis recte deinceps in quibusdam codicibus κλίματος pro κλίμακος. Vetus interpres adeo legit κλήματι; vertit enim, *profundus est adeo, ut maxima navis sarmento teneatur*, quam versionem Hopperus repetiit. Quod post πλείους vulgo inseritur δέ, cum Medic. 3. 4. Moscov. omisi, et quod postea ante ἰδὼν omittunt καί, retinui.

eminentesque ac brevia haberet: signo aliquo opus fuit, alto et claro, quo usi navigantes ex alto portus ingressum contingere possent. Occiduum etiam ostium, quamquam non tutum ingressum habet, non tamen tanta indiget providentia: sed hoc alium portum efficit, qui Eunosti dicitur, atque hic ante effossum et clausum portum jacet: qui enim ex dicta Phari turri ingressum habet, is maximus portus

ἐστὶ λιμήν· οὗτοι δὲ συνεχεῖς ἐν βάθει ἐκείνῳ τῷ ἑπτασταδίῳ καλουμένῳ. χώματι διειργόμενοι ἀπ' αὐτοῦ, παράκεινται· τὸ δὲ χῶμά ἐστιν ἀπὸ τῆς ἠπείρου γέφυρα ἐπὶ τὴν νῆσον κατὰ τὸ ἑσπέριον. αὐτῆς μέρος ἐκτεταμένη, δύο διάπλους ἀπολείπουσα μόνον εἰς τὸν Εὐνόστου λιμένα, καὶ αὐτοὺς γεγεφυρωμένους· ἦν δ' οὐ γέφυρα μόνον ἐπὶ τὴν νῆσον τὸ ἔργον τοῦτο, ἀλλὰ καὶ ὑδραγώγιον, ὅτε γε ᾠκεῖτο· νῦν δ' ἠρήμωσεν αὐτὴν ὁ θεὸς Καῖσαρ ἐν τῷ πρὸς Ἀλεξανδρέας πολέμῳ, τεταγμένην μετὰ τῶν βασιλέων· ὀλίγοι δ' οἰκοῦσι πρὸς τῷ πύργῳ ναυτικοὶ ἄνδρες. Ὁ γοῦν μέγας λιμὴν πρὸς τῷ κεκλεῖσθαι καλῶς τῷ τε χώματι καὶ τῇ φύσει, ἀγχιβαθής τέ ἐστιν, ὥστε τὴν μεγίστην ναῦν ἐπὶ κλίμακος ὁρμεῖν· καὶ εἰς πλείους σχίζεται λιμένας. Οἱ μὲν οὖν πρότεροι τῶν Aegyptus.

portus est. Hi vero continui in secessu illo, qui Heptastadium appellatur, aggere ab eo diremti adjacent. Agger autem est pons quidam a continenti in insulam ad occidentalem ejus partem porrectus, duos tantum aditus navigabiles relinquens in Eunosti portum, ipsos quoque ponte junctos: quod opus non modo pons erat in insulam, sed etiam aquae ductus, cum illa habitaretur. Nostra aetate D. Caesar eam in Alexandrino bello (in quo pro regibus contra ipsum steterat) evastavit, pauci tamen nautae juxta turrim habitant. Maximus quidem portus, praeterquam quod et natura et aggere bene clauditur, profundus est adeo proxime ipsum litus, ut maxima etiam navis ad ipsos gradus ejus applicari tuto possit: sed et in portus complures scinditur. Enimvero primi Aegyptiorum

Aegyptus.

τῶν Αἰγυπτίων βασιλεῖς ἀγαπῶντες οἷς εἶχον, καὶ οὐ πάνυ ἐπεισάκτων δεόμενοι, διαβεβλημένοι πρὸς ἅπαντας τοὺς πλέοντας, καὶ μάλιστα τοὺς Ἕλληνας (πορθηταὶ γὰρ ἦσαν καὶ ἐπιθυμηταὶ τῆς ἀλλοτρίας κατὰ σπάνιν γῆς) ἐπέστησαν φυλακὴν τῷ τόπῳ τούτῳ, κελεύσαντες ἀπείργειν τοὺς προσιόντας· κατοικίαν δ' αὐτοῖς ἔδοσαν τὴν προσαγορευομένην Ῥακῶτιν, ἣ νῦν μὲν τῆς Ἀλεξανδρέων πόλεώς ἐστι μέρος τὸ ὑπερκείμενον τῶν νεωρίων· τότε δὲ κώμη ὑπῆρχε. Τὰ δὲ κύκλῳ τῆς κώμης Βουκόλοις παρέδοσαν, δυναμένοις καὶ αὐτοῖς κωλύειν τοὺς ἔξωθεν ἐπιόντας. Ἐπελθὼν δὲ Ἀλέξανδρος, καὶ ἰδὼν τὴν εὐκαιρίαν, ἔγνω τειχίζειν ἐπὶ τῷ λιμένι τὴν πόλιν· τὴν δ' ὕστερον ἐπηκολουθηκυίας εὐδαιμονίας τῇ πόλει μνημονεύουσί τι σημεῖον κατὰ τὴν ὑπογραφὴν τοῦ κτίσματος συμβάν· τῶν γὰρ ἀρχιτεκτό-

νων

tum reges suis contenti opibus, nec importata aliunde magnopere desiderantes, omnibus exteris navigantibus, eo infensi erant: maxime Graecis, qui ob soli penuriam populari atque appetere aliena solebant, ideoque muniverunt locum hunc praesidio imposito, cui et habitandam dederunt eam, quae Rhacotis appellabatur: ea nunc Alexandriae pars est, navalibus imminens: tunc vicus erat. Quae vero in orbem circumjacebant, Bucolis, *id est bubulcis*, tradidere: qui ipsi quoque vires haberent ad arcendos extraneos. Cum Alexander eo venisset, loci opportunitate perspecta, statuit urbem ad portum esse muniendam. Futuram urbis felicitatem, quae consecuta est, ferunt ostento in ipsa operis designatione fuisse praemonstratam: ar-

chite-

νων τῇ λεύκῇ διασημαινομένων τὴν τοῦ περιβόλου γραμμὴν, ἐπιλιπούσης τῆς γῆς, καὶ τοῦ βασιλέως ἐπιόντος οἱ διοικηταὶ τῶν ἀλφίτων μέρος τῶν παρεσκευασμένων τοῖς ἐργάταις παρέσχον, δι' ὧν καὶ αἱ ὁδοὶ κατετμήθησαν εἰς πλείους· [6] τοῦτ' οὖν οἰωνίσθαι λέγονται πρὸς ἀγαθοῦ γεγονός. Aegypeus.

§. 7.

Ἡ δ' εὐκαιρία πολύτροπος· ἀμφίκλυστόν τε γάρ ἐστι τὸ χωρίον δυσὶ πελάγεσι, τὸ μὲν ἀπὸ τῶν ἄρκτων τῷ Αἰγυπτίῳ λεγομένῳ, τὸ δ' ἀπὸ μεσημ- p. 793.
βρίας τῷ τῆς λίμνης τῆς Μαρείας, ἣ καὶ Μαρεώ-

 τις

6) Medic. 3. 4. Ven. 1. 2. τοῦτ' οὖν οἴομαι οἰωνίσθαι, et pro λέγονται Medic. 4. λέγεται. Salmasius in Solinum p. m. 577. sic emendat: Εἰς πλείους τοῦτ' οὖν οἰωνίσθαι λέγεται πρὸς ἀγαθοῦ γεγονός. Deinde post vocem λευκῇ in Mosc. additur γῇ. Idem cum Medic. 3. 4. praefert ἐπιλειπούσης pro ἐπιλιπούσης, quos secutus sum. Pro Μαρείας in seqq Moscov. Medic. 3. 4. volunt Μαρίας, contra pro Μαρεῶτις iidem cum Paris. Μαρειῶτις, minus tamen recte, cum poetae secundam syllabam corripiant, nummi etiam de nomo praeferant Μαρεώτης.

chitectis enim ambitus lineam gypso designantibus, et adventante rege gypso deficiente, farinae operariis destinatae a procuratoribus fuisse praebitam partem, qua etiam compitorum plures divisiones delineaverint. Eam rem visam fuisse boni ominis.

§. 7.

Certe commoditates urbs habet non unius modo generis. Duo maria locum undique alluunt, alterum a septentrione, quod Aegyptium dicitur, alterum a meridie, quod Mareiae lacus et Mareotis appellatur: eam Nilus multis

Aegyptus. τις λέγεται· πληροῖ δὲ ταύτην πολλαῖς διώρυξιν ὁ Νεῖλος, ¹ ἄνωθεν δὲ καὶ ἐκ πλαγίων, δι᾽ ὧν καὶ τὰ εἰσκομιζόμενα πολλῷ πλείω τῶν ἀπὸ θαλάττης ἐστίν· ὥστε ὁ λιμὴν ὁ λιμναῖος ὑπῆρχε πλουσιώτερος τοῦ θαλαττίου· ταύτῃ τὰ ἐκκομιζόμενα ἐξ Ἀλεξανδρείας πλείω τῶν εἰσκομιζομένων ἐστί. γνοίη δ᾽ ἄν τις ἔν τε τῇ Ἀλεξανδρείᾳ, καὶ τῇ Δικαιαρχίᾳ γενόμενος, ὁρῶν τὰς ὁλκάδας ἔν τε τῷ κατάπλῳ, καὶ ἐν ταῖς ἀναγωγαῖς ὅσον βαρύτεραί τε καὶ κουφότεραι δεῦρο κἀκεῖσε πλέοιεν. Πρὸς δὲ τῷ πλούτῳ τῶν καταγομένων ἑκατέρωσε εἴς τε τὸν κατὰ θάλατταν λιμένα καὶ εἰς τὸν λιμναῖον, καὶ τὸ εὐάερον ἄξιον σημειώσεώς ἐστιν· ὃ καὶ αὐτὸ συμβαίνει

1) Ἄνωθέν τε conjunctim scribi vult Gronovius in praefat. ad Leonardi Augustini gemmas — depictas. Sic et legit in Grutero p. 503. Tum Moscov. Medic. 3. 4. Paris. δι᾽ ὧν τὰ absque καὶ, sed eo inserto paullo post Medic. 3. 4. Ven. 1. Moscov. ταύτῃ δὲ καὶ, cum vulgo absit. Ἐξ ante Ἀλεξανδρείας in Medic. 4. omissum est. In seqq. post ἀναφορὰν pro ποιῆσον ex Moscov. Paris. posui ποιῆσαι.

tis fossis tum e superioribus partibus, tum e lateribus actis implet, per quas multo plura importantur, quam e mari, adeo ut portus, qui ad lacum est, ditior sit marino. Exportari ex Alexandria plura hac, quam ex Italia importari, facile sentiet, qui Alexandriae et Puteolis fuerit, observaveritque onerarias naves et venientes et recedentes, quanto graviores aut leviores ultro citroque navigent. Iam praeter opes, quae ex utraque parte et in maris et in lacus portum advehuntur, aëris temperies digna est memoratu: quae idcirco contingit-

νει διὰ τὸ ἀμφίκλυστον, καὶ τὸ εὔκαιρον τῆς ἀνα- Aegy-
βάισεως τοῦ Νείλου. Αἱ μὲν γὰρ ἄλλαι πόλεις αἱ ptus.
ἐπὶ λιμνῶν ἱδρυμέναι βαρεῖς καὶ πνιγώδεις ἔχουσι τοὺς ἀέρας ἐν τοῖς καύμασι τοῦ θέρους· ἐπὶ γὰρ τοῖς χείλεσιν αἱ λίμναι τελματοῦνται διὰ τὴν ἔχ τῶν ἡλίων ἀναθυμίασιν· βορβορώδους οὖν ἀναφερομένης τοσαύτης ἰκμάδος, νοσώδης ὁ ἀὴρ ἕλκεται, καὶ λοιμικῶν κατάρχει παθῶν. Ἐν Ἀλεξανδρείᾳ δὲ τοῦ θέρους ἀρχομένου πληρούμενος ὁ Νεῖλος, πληροῖ καὶ τὴν λίμνην, καὶ οὐδὲν ἐᾷ τελματῶδες, τὸ τὴν ἀναφορὰν ποιῆσαι μοχθηράν· τότε δὲ καὶ οἱ ἐτησίαι πνέουσιν ἐκ τῶν βορείων, καὶ τοῦ τοσούτου πελάγους· ὥστε κάλλιστα τοῦ θέρους Ἀλεξανδρεῖς διάγουσιν.

tingit, quod urbs utrinque alluitur, et Nilus incrementa commode facit. Quippe caeterae urbes, quae ad latus sitae sunt, gravem et praefocantem aërem in aestivis ardoribus habent, ac propter vapores a sole excitatos coenum in lacuum labris cogitur, unde coenoso humore exhalante, aër morbidus attrahitur, ac pestilentiae initium praebet. At Alexandriae incipiente aestate Nilus auctus auget etiam lacum, et nullum coenum relinquit, unde malignus aliquis posset vapor exhalare. Simul etesiae a borealibus partibus et tanto pelago adspirant: ut Alexandrini optime aestatem agant.

Aegy-ptus.

§. 8.

Ἔστι δὲ χλαμυδοειδὲς τὸ σχῆμα τοῦ ἐδάφους τῆς πόλεως· οὗ τὰ μὲν ἐπὶ[1] μῆκος πλευρά ἐστι τὰ ἀμφίκλυστα, ὅσον τριάκοντα σταδίων ἔχοντα διάμετρον· τὰ δὲ ἐπὶ πλάτος οἱ ἰσθμοὶ, ἑπτὰ ἢ ὀκτὼ σταδίων ἑκάτερος, σφιγγόμενος τῇ μὲν ὑπὸ θαλάττης, τῇ δ' ὑπὸ τῆς λίμνης. Ἅπασα μὲν ὁδοῖς κατατέτμηται, [2]ἱππηλάταις καὶ ἁρματηλάταις· δυσὶ δὲ πλατυτάταις, ἐπὶ πλέον ἢ πλέθρον ἀναπεπταμέναις· αἳ δὴ δίχα καὶ πρὸς ὀρθὰς τέμνουσιν ἀλλήλας. Ἔχει δ' ἡ πόλις τεμένη, τά τε κοινὰ κάλλι-

1) Sic Moscov. Medic. 3. 4. uti deinceps ἐπὶ πλάτος. Vulgo μήκους, etsi utramque formam intactam relinquit Horreus in observatt. criticis cap. 41. p. 331.

2) Ven. 1. Medic. 3. 4. cum Casaubonianis praeferunt ἱππηλάτοις καὶ ἁρματηλάτοις. In seqq. verba ἐπὶ πλέον ἢ πλέθρον ἀναπεπταμέναις Casaubonus ex codicibus supplevit, Xylander ex vetere interprete. Mei codices omnes tuentur. Postea vulgo legitur βασιλείων in edd. Casaubonn. et Amstelod. pro βασιλέων, quod nexus probat et habent codices. Tum pro περιεβάλλετο Medic. 4. περιεβάλετο.

§. 8.

Urbis solum chlamydis figuram habet, cujus latera, quae in longum tendunt, aqua circum alluuntur xxx fere stadiorum habentia diametrum, latera vero, quae in latum sunt, isthmis stringuntur septem octove stadiorum, hinc mari, illinc lacu allutorum. Ac tota quidem urbs viis divisa est, per quas et equi et currus agi possint: duabus autem latissimis, quae amplius jugero expanduntur, et sese medias ad rectos angulos secant. Urbs habet publica fana pulcherrima et regias,

κάλλιστα καὶ τὰ βασίλεια, τέταρτον, ἢ καὶ τρί- Aegy-
τον τοῦ παντὸς περιβόλου μέρος· τῶν γὰρ βασι- ptus.
λέων ἕκαστος ὥσπερ τοῖς κοινοῖς ἀναθήμασι προσε-
φιλοκάλει τινὰ κόσμον, οὕτω καὶ οἴκησιν ἰδίᾳ πε-
ριεβάλλετο πρὸς ταῖς ὑπαρχούσαις, ὥστε νῦν τὸ
τοῦ ποιητοῦ

Ἐξ ἑτέρων ἕτερ' ἐστίν·

ἅπαντα μέντοι συναφῆ καὶ ἀλλήλοις καὶ τῷ λι-
μένι, καὶ ὅσα ἔξω αὐτοῦ. Τῶν δὲ βασιλείων μέρος
ἐστὶ καὶ τὸ Μουσεῖον, ἔχον περίπατον καὶ ἐξέδραν,
καὶ οἶκον μέγαν, ἐν ᾧ τὸ συσσίτιον τῶν μετεχόντων p. 794.
τοῦ Μουσείου φιλολόγων ἀνδρῶν. Ἔστι δὲ τῇ συνόδῳ
ταύτῃ καὶ χρήματα κοινὰ, καὶ ἱερεὺς ὁ ἐπὶ τῷ
Μουσείῳ τεταγμένος, τότε μὲν ὑπὸ τῶν βασιλέων,
νῦν δ' ὑπὸ Καίσαρος. Μέρος δὲ τῶν βασιλείων ἐστὶ

 καὶ

giae, quae quartam tertiamve totius ambitus partem occupant. Nam regum quisque ut deorum donariis aliquid ornamenti addere studebat; ita et ad jam exstructas regias aliquam de suo adjiciebant, ut nunc poëtae illud vere dici possit,

Sunt alia ex aliis. —

atque omnes inter se junctae sunt et portui contiguae, et iis, quae extra eum sunt. Pars etiam regiarum est Museum, quod deambulationem habet, et exedram, et maximam domum, in qua coenaculum est eorum, qui Musei consortes sunt, ac litteris humanioribus studium impendunt. Hoc collegium publice pecunias habet et sacerdotem, qui Museo praeest, olim a regibus, nunc a Caesare constitutum. Regiarum pars et illud

Aegyptus. καὶ τὸ καλούμενον ³ Σῆμα, ὃ περίβολος ἦν, ἐν ᾧ αἱ τῶν βασιλέων ταφαὶ, καὶ ἡ Ἀλεξάνδρου· ἔφθη γὰρ τὸ σῶμα ἀφελόμενος Περδίκκαν ὁ τοῦ Λάγου Πτολεμαῖος, κατακομίζοντα ἐκ τῆς Βαβυλῶνος, καὶ ἐκτρεπόμενον ταύτῃ κατὰ πλεονεξίαν καὶ ἐξιδιασμὸν τῆς Αἰγύπτου, καὶ δὴ καὶ ἀπώλετο διαφθαρεὶς ὑπὸ τῶν στρατιωτῶν, ἐπελθόντος τοῦ Πτολεμαίου καὶ κατακλείσαντος αὐτὸν ἐν νήσῳ ἐρήμῃ· ἐκεῖνος μὲν οὖν ἀπέθανεν ἐμπεριπαρεὶς ταῖς σαρίσσαις,

3) Mirum, in omnibus codicibus constantissime reperiri hanc lectionem. Mihi tamen legendum videtur Σῆμα. Nam quia ibi Regum erant monumenta et sepulcra, ideo ei loco Sema, h. e. monumentum, et quasi dicas Mausoleum, fuit nomen. Meminere Σήματος Alexandrini scriptores proverbiorum Graecorum in adagio Εὔνους ὁ σφάκτης: ut dubitandum non sit, ita esse emendandum. *Casauboni.* Si recte habet lectio σῶμα, sic videtur locus dictus in honorem Alexandri, cujus τὸ σῶμα ibi positum esset. *Idem*, qui et σῆμα legendum censet ad Suetonium in Augusto cap. 18. Probat hanc emendationem Wesselingius ad Diodor. Sic. 17, 52. omninoque sic locum memorat Heynius in commentatt. Goettingensibus Vol. 4. p. 24. In seqq. haec leviora dant codices: Medic. 4. Περδίκκαν; Moscov. Medic. 3. 4. σαρίσσαις; tum Medic. 3. 4. ἐκεῖθεν, et post verbum ἐκτρεπόμενον Medic. 3. Moscov. Paris. αὐτὸν pro αὐτόν.

illud est, quod Sema appellatur, septum quoddam, in quo regum sepulturae et Alexandri erant. Ptolemaeus Lagi F. Alexandri corpus Perdiccae eripuerat, cum hic id e Babylone deferret, atque huc diverteret, avaritia et Aegypti sibi vindicandae studio impulsus. Periit ille a militibus interemtus, a Ptolemaeo superveniente in insula deserta inclusus, ubi, irruentibus militibus, sarissis confossus

σαις, ἐπελθόντων ἐπ' αὐτὸν τῶν στρατιωτῶν· σὺν αὐτῷ δὲ καὶ οἱ βασιλεῖς, Ἀριδαῖός τε, καὶ τὰ παιδία τὰ Ἀλεξάνδρου, καὶ ἡ γυνὴ Ῥωξάνη ἀπῇρεν εἰς Μακεδονίαν· τὸ δὲ σῶμα τοῦ Ἀλεξάνδρου κομίσας ὁ Πτολεμαῖος ἐκήδευσεν ἐν τῇ Ἀλεξανδρείᾳ, ὅπου νῦν ἔτι κεῖται· οὐ μὴν ἐν τῇ αὐτῇ πυέλῳ· ὑαλίνη γὰρ αὐτή, ἐκεῖνος δ' ἐν χρυσῇ κατέθηκεν. Ἐσύλησε δ' αὐτὴν [4] ὁ Κόκκης, καὶ Παρείσακτος ἐπικληθεὶς Πτολεμαῖος, ἐκ τῆς Συρίας ἐπελθών, καὶ ἐκπεσὼν εὐθύς, ὥστ' ἀνόνητα αὐτῷ τὰ σῦλα γενέσθαι. Aegyptus.

4) Qui et Cybiosactes est appellatus, ut mox dicemus, et crediderit fortasse aliquis, pro Κόκκης hic quoque Κυβιοσάκτης olim fortasse scriptum, quod tamen non affirmamus. *Casaubonus.* Reddidit hanc conjecturam in ipsoque contextu, male quidem, quia Casaubonus miscuit cum alio. V. Forsten de successoribus Ptolemaei VII. in commentatt. Goettingens. Vol. 3. p. 136. sq.

fossus est. Cum eo reges, Aridaeusque, et Alexandri filii, et Rhoxana uxor in Macedoniam discesserunt. Alexandri corpus Ptolemaeus Alexandriam detulit: ibique id sepeliit, et adhuc ibi jacet, non tamen in eodem alveo. Nunc enim vitreus est, ille in aureo condiderat. Aureum Ptolemaeus, cognomento Coccus et Subditicius, rapuit, e Syria eo profectus: statimque dejectus, nullam e praeda utilitatem percepit.

Aegyptus.

§. 9.

[1] Ἔστι δὲ ἐν τῷ μεγάλῳ λιμένι κατὰ μὲν τὸν εἴσπλουν ἐν δεξιᾷ ἡ νῆσος καὶ ὁ πύργος ὁ Φάρος· κατὰ δὲ τὴν ἑτέραν χεῖρα αἵ τε χοιράδες, καὶ ἡ Λοχιὰς ἄκρα, ἔχουσα βασίλειον. Εἰσπλεύσαντι δ' ἐν ἀριστερᾷ, ἐστὶ συνεχῆ τοῖς ἐν τῇ Λοχιάδι τὰ ἐνδοτέρω βασίλεια, πολλὰς καὶ ποικίλας ἔχοντα διαίτας καὶ ἄλση· τούτοις δ' ὑπόκειται ὅ, τε κρυπτὸς λιμὴν καὶ κλειστὸς ἴδιος τῶν βασιλέων, καὶ ἡ [2] Ἀντίρροδος, νησίον προκείμενον τοῦ ὀρυκτοῦ λιμένος, βασίλειον ἅμα καὶ λιμένιον ἔχον· ἐκάλεσαν δ' οὕτως, ὡς ἂν τῇ Ῥόδῳ ἐνάμιλλον. Ὑπέρκειται δὲ τούτου τὸ θέατρον· εἶτα τὸ Ποσείδιον, ἀγκών τις ἀπὸ

1) Med. 3. Ἔστι δ' ἐν μὲν τῷ. Tum pro συνεχεῖς, quod vulgo olim legebatur, Casaubonus recte posuit συνεχῆ, addicentibus etiam codicibus. Post pro λιμένιον Casaubonn. i. e. Ven. 2. λιμένι truncato vocabulo. Pro ἐμπορίου, ut alibi, Medic. 4. ἐμπορείου, uti deinceps in utramque formam variatur.

§. 9.

In magno portu juxta ingressum ad dextram est insula, et turris Pharus, ad laevam sunt cautes, et Lochias promontorium, in quo regia est. Ingresso ad sinistram, sunt interiores regiae, continuae iis, quae sunt in Lochiade, multa ac varia domicilia et lucos habentia. His occultus ac clausus portus subjacet, qui proprius est regum. Item Antirrhodus insula, quae ante effossum portum jacet, regiam habens, et parvum portum, sic dicta, quod Rhodo quasi aemula esset. Supra hanc theatrum est, postea Posidium, cubitus quidam

ἀπὸ τοῦ Ἐμπορίου καλουμένου προπεπτωκὼς, ἔχων Aegyptus.
ἱερὸν Ποσειδῶνος· ᾧ προσθεὶς χῶμα Ἀντώνιος ἔτι μᾶλλον προνεῦον εἰς μέσον τὸν λιμένα, ἐπὶ τῷ ἄκρῳ κατεσκεύασε δίαιταν βασιλικὴν, ἣν Τιμώνιον προσηγόρευσε. Τοῦτο δ' ἔπραξε τὸ τελευταῖον, ἡνίκα προλειφθεὶς ὑπὸ τῶν φίλων ἀπῆρεν εἰς Ἀλεξάνδρειαν μετὰ τὴν ἐν Ἀκτίῳ κακοπραγίαν, Τιμώνιον αὑτῷ κρίνας τὸν λοιπὸν βίον, ὃν διάξειν ἔμελλεν ἔρημος τῶν τοσούτων φίλων. Εἶτα τὸ Καισάριον καὶ τὸ Ἐμπορεῖον, καὶ ἀποστάσεις· καὶ μετὰ ταῦτα τὰ νεώρια μέχρι τοῦ ἑπτασταδίου. Ταῦτα μὲν τὰ πρὸ τὸν μέγαν λιμένα.

§. 10.

a) Ante Casaubonum edebatur minus apte περιληφθεὶς variatione nota. Idem ex vetere libro refert προκαταληφθεὶς. Innuitur Ven. 2. Ante ταῦτα Moscov. Medic. 3. 4. Ven. 1. ponunt καὶ, ex quibus inserui, cum vulgo absit. Pro Καισάριον Moscov. Paris. Ven. 2. dant vitiose quidem Καισάρειον.

quidam ab Emporio, quod vocatur, deflectens, et Neptuni templum habens. Ibi Antonius, addito aggere magis etiam in medium portum prominente, regiam domum construxit, quam Timonium appellavit, idque ad extremum fecit, cum ab amicis derelictus, post Actiacam calamitatem, Alexandriam discessisset, ac solitariam sibi quandam vitam Timonis exemplo peragendam proposuisset, amicis omnibus valere jussis. Postea est Caesarium et Emporium, et Apostases, quae dicuntur, *quasi abscessus*, atque inde navalia usque ad Heptastadium. Atque haec circa magnum portum sunt.

§. 11.

Aegyptus. p. 795.

§. 10.

Ἑξῆς δ' Εὐνόστου λιμὴν μετὰ τὸ ἑπταστάδιον· καὶ ὑπὲρ τούτου ὀρυκτὸς, ὃν καὶ Κιβωτὸν καλοῦσιν, ἔχων καὶ αὐτὸς νεώρια. Ἐνδοτέρω δὲ τούτου διῶρυξ πλωτὴ μέχρι τῆς λίμνης [1] τεταμένη τῆς Μαρεώτιδος· ἔξω μὲν οὖν τῆς διώρυγος μικρὸν ἔτι λείπεται τῆς πόλεως· εἶθ' ἡ Νεκρόπολις, καὶ τὸ προάστειον, ἐν ᾧ κῆποί τε πολλοὶ καὶ ταφαὶ καὶ καταγωγαὶ, πρὸς τὰς ταριχείας τῶν νεκρῶν ἐπιτήδειαι. Ἐντὸς δὲ τῆς διώρυγος τό, τε Σαράπιον καὶ ἄλλα τεμένη ἀρχαῖα ἐκλελειμμένα

1) Casaubonn. i. e. Ven. 2. τετμημένη, sed recte habet vulgata lectio, quam et alii tuentur. Post Μαρεώτιδος plures scribunt, in quibus Medic. 3. 4. Moscov. Paris. Falso. Cf. supra. In proxima voce διώρυγος libri variant. Quidam enim, ut Medic. 3. hic et infra χ pro γ praeferunt. Nec magis sibi alii constant. Cf. ad Melam Vol. 2. P. 3. p. 292. Ante verba τὸ προάστειον in Medic. 3. et Moscov. deest καί. Moscov. post pro ναῶν, uti scribitur in editionibus, praefert νεῶν, adsentientibus Paris. Medic. 3. 4. unde repetii. Post verba κάλλεσιν δὲ Moscov. inserit καί.

§. 10.

Deinde ab Heptastadio est Eunosti portus, et supra hunc est effossus portus, etiam Cibotus, *hoc est arca*, dictus, qui et ipse navalia habet. Intra hunc fossa est navigabilis usque ad Mareotidem lacum perducta: extra fossam itaque restat urbis paululum. Postea est Necropolis (*id est cadaverum urbs*) et suburbanum, in quo horti plurimi sunt, et sepulturae, ac domicilia condiendis mortuis idonea. Intra fossam sunt Sarapium, et alia quaedam antiqua fana, abolita fere

μως πως διὰ τὴν τῶν νεῶν κατασκευὴν τῶν ἐν Νικοπόλει· καὶ γὰρ ἀμφιθέατρον καὶ στάδιον, καὶ οἱ πενταετηρικοὶ ἀγῶνες ἐκεῖ συντελοῦνται· τὰ δὲ παλαιὰ ὠλιγώρηται. Συλλήβδην δ' εἰπεῖν ἡ πόλις μεστὴ ἐστὶν ἀναθημάτων καὶ ἱερῶν· κάλλιστον δὲ τὸ γυμνάσιον, μείζους ἢ σταδιαίας ἔχον τὰς στοὰς. ἐν μέσῳ· τὸ δὲ δικαστήριον καὶ τὰ ἄλση. Ἔστι δὲ καὶ Πάνειον, ὕψος τι χειροποίητον, στροβιλοειδὲς, ἐμφερὲς ὄχθῳ πετρώδει, διὰ κοχλίου τὴν ἀνάβασιν ἔχον· ἀπὸ δὲ τῆς κορυφῆς ἐστιν ἀπιδεῖν ὅλην τὴν πόλιν ὑποκειμένην αὐτῷ πανταχόθεν. Ἀπὸ δὲ τῆς Νεκροπόλεως ἡ ἐπὶ τὸ μῆκος πλατεῖα διατείνει παρὰ τὸ γυμνάσιον μέχρι τῆς πύλης τῆς Κανωβικῆς· Aegyptus.

εἶθ'

2) Medic. 3. 4. Πάνιον, uti quidam lib. 9. p. m. 375. Verba sequentia εἶθ' Ἱππόδρομος — Κανωβικῆς in Moscov. desunt, uti deinceps in Parif. Medic. 3. 4. αἱ ante ἄλλαι. Post ἐκπεξιόντας pro αὐτῷ, quod fubjicitur in editionibus, cum omnibus meis codicibus fcripfi ὑπ' αὐτόν.

fere propter templorum factam exftructionem Nicopoli: nam et amphitheatrum, et ftadium, et quinquennalia certamina ibi celebrantur: antiquitus vero inftituta viluerunt. Sed (ut verbo dicam) urbs et donariis et facris plena eft: pulcerrimum gymnafium, quod porticus habet ftadio majores: tum forum judiciale, et luci. Eft etiam Panium, altum opus manu conditum, forma turbinata, faxeo tumulo fimile, in quod per cochleam afcenditur: ab ejus vertice tota urbs fubjecta undique cerni poteft. A Necropoli vero platea, quae in longum praeter gymnafium pertendit usque ad Canopicam portam: poft-

ea

Aegyptus. εἶθ' Ἱππόδρομος καλούμενός ἐστι, καὶ αἱ παρακείμεναι αἱ ἄλλαι μέχρι τῆς διώρυγος τῆς Κανωβικῆς. Διὰ δὲ τοῦ Ἱπποδρόμου διελθόντι ἡ Νικόπολίς ἐστιν ἔχουσα κατοικίαν ἐπὶ θαλάττῃ πόλεως οὐκ ἐλάττω· τριάκοντα δὲ εἰσιν ἀπὸ τῆς Ἀλεξανδρείας στάδιοι. Τοῦτον δὲ ἐτίμησεν ὁ Σεβαστὸς Καῖσαρ τὸν τόπον, ὅτι ἐνταῦθα ἐνίκα τῇ μάχῃ τοὺς ἐπεξιόντας ἐπ' αὐτὸν μετὰ Ἀντωνίου· καὶ λαβὼν ἐξ ἐφόδου τὴν πόλιν, ἠνάγκασε τὸν μὲν Ἀντώνιον ἑαυτὸν διαχειρίσασθαι, τὴν δὲ Κλεοπάτραν ζῶσαν ἐλθεῖν εἰς τὴν ἐξουσίαν· μικρὸν δ' ὕστερον κἀκείνη ἑαυτὴν ἐν τῇ φρουρᾷ διεχειρίσατο λάθρα δήγματι ἀσπίδος, ἢ φαρμάκῳ ἐπιχρίστῳ· λέγεται γὰρ ἀμφοτέρως· καὶ συνέβη καταλυθῆναι τὴν τῶν Λαγίδων ἀρχήν, πολλὰ συμμείνασαν ἔτη.

§. 11.

ea est circus, qui Graece Hippodromus appellatur, et aliae subsequentes usque ad Canopicam fossam. Exeunti per Hippodromum est Nicopolis, quae habitatur ad mare ita, ut urbe non minor censeri debeat: distat ab Alexandria stadiis triginta. Hunc locum Caesar Augustus ornavit: quod hic proelio eos superavit, qui cum Antonio contra ipsum exierant, et primo aditu urbem cepit: Antonium vero coëgit, ut ipse sibi manum afferret: Cleopatram vivam in potestatem suam redegit: quae paulo post et ipsa se in custodia clam admotae aspidis morsu, aut (ut alii tradunt) illito veneno interfecit. Ad hunc modum Lagidarum imperium eversum est, quod per multos annos duraverat.

§. 11.

§. 11. Aegyptus.

Πτολεμαῖος γὰρ ὁ Λάγου διεδέξατο Ἀλέξανδρον, ἐκεῖνον δὲ Φιλάδελφος, τοῦτον δὲ ὁ Εὐεργέτης, εἶθ' ὁ Φιλοπάτωρ, ὁ τῆς Ἀγαθοκλείας, εἶθ' ὁ Ἐπιφανής, εἶθ' ὁ Φιλομήτωρ, παῖς παρὰ πατρὸς ἀεὶ [1] διαδεχόμενος· τοῦτον δ' ἀδελφὸς διεδέξατο ὁ δεύτερος Εὐεργέτης, ὃν καὶ Φύσκωνα προσαγορεύουσι· τοῦτον δ' ὁ Λάθουρος ἐπικληθεὶς Πτολεμαῖος· τοῦτον δ' ὁ Αὐλητὴς ὁ καθ' ἡμᾶς, ὅσπερ ἦν τῆς Κλεοπάτρας πατήρ. Ἅπαντες μὲν οὖν οἱ p. 796. μετὰ τὸν τρίτον Πτολεμαῖον ὑπὸ τρυφῆς διεφθαρμένοι,

1) Ven. 2. δεχόμενος. Quod deinde vulgo legitur τοῦτον δ' ὁ Αὐλητὴς, Palmerius in Grr. auctores p. 352. mutandum censet in τοῦτον δ' ὁ Αὐλητής. Recte ex nexu, ut ad successionem referatur. Idem etiam comprobant Medic. 3. 4. Ven. 1. Tum ante ἑβδόμους in Medic. 3. 4. deest articulus. Post pro χοραύλην, quod exstat in omnibus libris, Casaubonus ex epitome praefert χοραυλεῖν. Nescio, an bene. Equidem vulgatam intactam reliqui. Tum Medic. 4. omisso ἐπὶ simpliciter ponit τοσοῦτον.

§. 11.

Etenim Ptolemaeus Lagi F. Alexandro successit, Ptolemaeo autem Philadelphus, Philadelpho Evergetes, hinc Philopator Agathocliae, ei Epiphanes, hinc Philometor, semper filio patri in regnum succedente. Philometori vero frater successit, secundus Evergetes nominatus, quem et Physconem dicunt: huic Ptolemaeus cognomento Lathurus successit: Lathuro autem aetate nostra Auletes Cleopatrae pater. Sed omnes post tertium Ptolemaeum male regnum gesserunt, luxu

Aegyptus. μένοι, χεῖρον ἐπολιτεύσαντο· χείριστα δ' ὁ τέταρτος καὶ ὁ ἕβδομος καὶ ὁ ὕστατος ὁ Αὐλήτης· ὃς χωρὶς τῆς ἄλλης ἀσελγείας Χςραύλην ἤσκησε· καὶ ἐπ' αὐτῷ τε ἐσεμνύνετο ἐπὶ τοσοῦτον, ὥστ' οὐκ ὤκνει συντελεῖν ἀγῶνας ἐν τοῖς βασιλείοις, εἰς οὓς παρῄει διαμιλλησόμενος τοῖς ἀνταγωνισταῖς. Τοῦτον μὲν οὖν οἱ Ἀλεξανδρεῖς ἐξέβαλον· τριῶν δ' αὐτῷ θυγατέρων οὐσῶν, ὧν μία γνησία ἡ πρεσβυτάτη, ταύτην ἀνέδειξαν βασίλισσαν· υἱοὶ δ' αὐτοῦ δύο νήπιοι τῆς τότε χρείας ἐξέπιπτον τελέως. Τῇ δὲ κατασταθείσῃ μετεπέμψαντο ἄνδρα ἐκ τῆς Συρίας [2] Κυβιο-

luxu perditi: omnium vero pessime quartus, et septimus, et ultimus Auletes. Hic praeter alia flagitia etiam choraulam exercuit: et adeo ea se jactavit, ut non pigeret eum certamina in regia celebrare, ad quae et ipse cum aliis concertaturus prodiit. Itaque eum Alexandrini exegerunt, et cum ei tres filiae essent, unam natu grandiorem, quae legitima erat, reginam fecerunt: duo ejus filii infantes adhuc regno tum prorsus exciderunt. Reginae virum e Syria acciverunt Cybiosactem quendam, qui se

2) Cybiosactis vox mihi suspecta est, quod ταριχευτῇ est adfine, qualis fuit, qui mox refertur Archelaus. Infra in Cleopatrae historia asteriscum notavi; nam quae interpres apposuit, non sunt Straboniana. Dionysius quidem frater fuit Cleopatrae, et epitomae eum nominant. *Xylander*. Xylander quum non coneoqueret hanc vocem, locum putavit esse corruptum et emendandum, in quo deceptum fuisse eum, docent et veteres codices, qui hanc lectionem constanter retinent, et hic amplius locus Sueto-

βιοσάκτην τινὰ, προσποιησάμενον τοῦ γένους εἶναι τῶν Συριακῶν βασιλέων· τοῦτον μὲν οὖν ὀλίγων ἡμερῶν Aegyptus.

Suetonii, ubi exstat eadem vox. Scribit ille de Vespasiano cap. 19. *Alexandrini Cybiosacten eum vocare perseveraverunt cognomine unius e regibus suis turpissimarum sordium.* Quamquam apud Suetonium vera lectio hactenus ignota est. *Cybiotaten* legi placet interpretibus, qui etiam in Strabone sic esse legendum dicere audent. Sed profecto explodenda est istorum et emendatio et interpretatio. Errant enim non mediocriter, quum putant, Cybiotaten dictum fuisse istum παρὰ τὸ τάττειν τὰ κύβια, sive ab ordinandis familiae cybiis. Nos non dubitamus, peritiores hujus linguae mecum esse affirmaturos, illam vocem a Graeca lingua alienam esse, nec ferri posse, quum sit contra omnem rationem et analogiam. Quid ergo? nimirum retinenda notis est omnino Strabonis librorum lectio κυβιοσάκτης; quae lectio, sive analogiam spectes sive significationem, optima est. Nam quum esset iste Seleucus sordidus et αἰσχροκερδὴς, quique ex omni re lucrum captaret, dici coepit ab Alexandrinis, quorum nota est scurrilitas, Cybiosactes, non παρὰ τὸ τάττειν τὰ κύβια, simile, ut παρὰ τὸ ὀρύττειν τοὺς τοίχους dicitur τοιχωρύχης. Cybium, ut etiam Plinius H. N. IX. 15. docet, genus fuit salsamenti; σάττειν autem proprie est onus jumento imponere, ut faciunt mercium vectores, et camelitae, et pro ἐμπορεύεσθαι accipi potest κυβιοσάκτης. Igitur idem plane est, quod ταριχέμπορος. Iam qui sciunt, quale convicium fuerit, dici ταριχέμπορος et τῷ ἀγκῶνι ἀπομυσσόμενος, ut de suo patre Bio dicebat, ii facile hujus scommatis venustatem animadvertent. Atque ita existimamus et Strabonem esse explicandum et Suetonium emendandum. *Casaubonus.* Cybiosacten etiam in Suetonio probant intelligentiores interpretes.

se e Syriacorum regum stirpe ferebat. Hunc intra paucos dies regina strangulavit, cum ejus sordes

Aegyptus.

μερῶν [3] ἀπεστραγγάλισεν ἡ βασίλισσα, οὐ φέρουσα τὸ βάναυσον αὐτοῦ καὶ τὸ ἀνελεύθερον. Ἧκε δ᾽ ἀντ᾽ ἐκείνου προσποιησάμενος καὶ αὐτὸς εἶναι Μιθριδάτου υἱὸς τοῦ Εὐπάτορος Ἀρχέλαος, ὃς ἦν υἱὸς μὲν Ἀρχελάου τοῦ πρὸς Σύλλαν διαπολεμήσαντος, καὶ μετὰ ταῦτα τιμηθέντος ὑπὸ Ῥωμαίων, πάππος δὲ τοῦ βασιλεύσαντος Καππαδοκῶν ὑστάτου καθ᾽ ἡμᾶς, ἱερεὺς δὲ τῶν ἐν Πόντῳ Κομάνων. Γαβινίῳ δὲ τότε συνδιέτριψεν ὡς συστρατεύσων ἐπὶ Παρθυαίους, λαθὼν δὲ τοῦτον κομίζεται διά τινων εἰς

3) Parif. ἀπεστραγάλησεν; Mofcov. et alii cum editionibus ἀπεστραγάλλισεν; Medic. 3. 4. ἀπεστραγγάλισεν, uti in notis voluerat Xylander et in verfione interpretatus erat. Recte. Cf. Diodor. Sic. 14, 12. Sic igitur repofui. Αὐτοῦ, quod deinceps fequitur, deeft in Mofcov. Medic. 3. 4. Parif. Tum inverfo ordine Parif. Medic. 3. 4. Mofcov. μὲν Ἀρχελάου υἱός. Poft pro τιμηθέντος Ven. 2. ridicule τιμηθέντης. Melius inde Mofcov. Parif. Medic. 3. 4. Ven. 1. 2. συνδιέτριψεν pro συνδιέτριβεν, quod praeferunt editiones. Proxime poft ex codicibus meis omnibus et vetere interprete dedi διά τινων. Vulgo in editionibus fertur διά τινος.

des illiberalitatemque pati non poffet. In hujus locum Archelaus fubiit, qui fe Mithridatis Eupatoris filium fimulabat: erat autem Archelai filius ejus, qui contra Syllam bellum geffit, et poftea a Romanis ei honor habitus eft, ac avus ejus fuit, qui tempore noftro poftremus in Cappadocia regnavit, Comanorum facerdos, quae in Ponto funt. Is cum Gabinio tunc degens, tanquam cum eo contra Parthos militaturus, eo nefciente per amicos quosdam

εἰς τὴν βασίλισσαν καὶ ἀναδείκνυται βασιλεύς. Ἐν τούτῳ τὸν Αὐλητὴν ἀφικόμενον εἰς Ῥώμην, δεξάμενος Πομπήϊος Μάγνος, συνίστησι τῇ συγκλήτῳ καὶ διαπράττεται κάθοδον μὲν τούτῳ, τῶν δὲ πρέσβεων τῶν πλείστων ἑκατὸν ὄντων ὄλεθρον τῶν καταπρεσβευσάντων αὐτοῦ· τούτων δ' ἦν καὶ Δίων ὁ Ἀκαδημαϊκὸς ἀρχιπρεσβευτὴς γεγονώς. Καταχθεὶς [4] οὖν ὑπὸ Γαβινίου Πτολεμαῖος, τόν τε Ἀρχέλαον ἀναιρεῖ καὶ τὴν θυγατέρα, χρόνον δ' οὐ πολὺν τῇ βασιλείᾳ προσθεὶς, τελευτᾷ νόσῳ, καταλιπὼν δύο μὲν υἱεῖς, δύο δὲ θυγατέρας, [5] πρεσβυτάτην τε Κλεοπάτραν. Οἱ μὲν οὖν Ἀλεξανδρεῖς ἀπέδειξαν βασι- Aegyptus.

4) Sic Moscov. Ven. 1. Medic. 3. 4. In editionibus δὲ, uti et Parif. habet. Ven. 2. γοῦν. Post Parif. Medic. 3. 4: Σαβίνου vitiose pro Γαβινίου.

5) Casaubonus emendat πρεσβυτάτην δὲ, uti legitur in Medic. 3. vel aliquid deesse putat. At stare vulgata recte potest. Verba Οἱ μὲν οὖν — Κλεοπάτραν in Ven. 2. desunt; et ex iis, qui habent, Ven. 1. Medic. 3. 4. Moscov. Parif. pro υἱῶν, quod vulgo fertur, praeferunt παίδων, quod inde recepi.

dam ad reginam deductus, rex declaratus fuit. Sub idem tempus Auletam Romam profectum Pompejus Magnus suscipit, et senatui commendat, ac de reductione ejus agit, et de nece legatorum, qui supra centum contra regem venerant, e quibus fuit Dio Academicus, princeps legationis. Ptolemaeus itaque a Gabinio reductus, Archelaum ac filiam interemit. Sed non multo post morbo absumptus est, relictis duobus filiis, et totidem filiabus, quarum grandior erat Cleopatra. Alexandrini filium

Aegyptus.

βασιλέας τόν τε πρεσβύτερον παίδων καὶ τὴν Κλεοπάτραν· [6] οἱ δὲ συνόντες τῷ παιδὶ καταστασιάσαντες ἐξέβαλον τὴν Κλεοπάτραν, [7] καὶ ἀπῆρε μετὰ τῆς ἀδελφῆς εἰς τὴν Συρίαν. Ἐν τούτῳ Πομπήιος Μάγνος ἧκε φεύγων ἐκ [8] Παλαιοφαρσάλου πρὸς τὸ Πηλούσιον καὶ τὸ Κάσσιον ὄρος· τοῦτον μὲν οὖν δολοφονοῦσιν οἱ μετὰ τοῦ βασιλέως· ἐπελθὼν δὲ Καῖσαρ τόν τε μειρακίσκον διαφθείρει, καὶ καθίστησι βασίλισσαν τῆς Αἰγύπτου τὴν Κλεοπάτραν μεταπεμψάμενος

6) Verba οἱ δὲ συνόντες — Κλεοπάτραν, ante Casaubonum uncis inclusa, ab eo ex tribus codicibus et vetere interprete libera prodierunt. Agnoscunt etiam mei libri.

7) Hiat narratio. Forte ἢ καὶ legendum. Alia ratione nectit Moscov. in quo legitur ἀπῆρεν, ad rem tamen minus obportune.

8) Moscov. Medic. 3. 4. Παλαιφαρσάλου, ut in his variatur. Idem fit in montis nomine, hic et alibi, quod modo per duplex σ, ut hic in editionibus, modo per simplex, ut in Moscov. et Medic. 4. scribitur. Post inverso ordine in Medic. 3. 4. Moscov. τῆς Αἰγύπτου βασίλισσαν. In seqq. pro ἐπεποιήκει, quod habent libri editi, codices Casauboniani et mei omnes praeferunt ἐπεποιήσατο.

filium natu grandiorem et Cleopatram regno praefecerunt, sed pueri familiares, mota seditione, Cleopatram ejecerunt, quae postea cum sorore in Syriam secessit. Interea Pompejus Magnus ex Palaeopharsalo fugiens ad Casium montem ac Pelusium venit, ibique a regis familiaribus per fraudem interfectus est. Caesar cum supervenisset, adolescentulum interemit, et Cleopatram ab exilio revocatam Aegypti reginam constituit, atque ei in regni

μενος ἐκ τῆς φυγῆς· συμβασιλεύειν δ᾽ ἀπέδειξε τὸν λοιπὸν ἀδελφὸν αὐτῇ, νέον παντελῶς ὄντα. Μετὰ δὲ τὴν Καίσαρος τελευτὴν καὶ τὰ ἐν Φιλίπποις, διαβὰς Ἀντώνιος εἰς τὴν Ἀσίαν, ἐξετίμησεν ἐπὶ πλέον τὴν Κλεοπάτραν, ὥστε καὶ γυναῖκα ἔκρινε, καὶ ἐτεκνοποιήσατο ἐξ αὐτῆς, τόν τε Ἀκτιακὸν πόλεμον συνήρατο ἐκείνῃ καὶ συνέφυγε· καὶ μετὰ ταῦτα ἐπακολουθήσας ὁ Σεβαστὸς Καῖσαρ ἀμφοτέρους κατέλυσε, καὶ τὴν Αἴγυπτον ἔπαυσε παροινουμένην. Aegyptus. p. 797.

§. 12.

Ἐπαρχία δὲ νῦν ἐστι, φόρους μὲν τελοῦσα ἀξιολόγους, ὑπὸ σωφρόνων δὲ ἀνδρῶν διοικουμένη τῶν πεμπομένων ἐπάρχων ἀεί. Ὁ μὲν οὖν πεμφθεὶς τὴν τοῦ βασιλέως ἔχει τάξιν· ὑπ᾽ αὐτῷ δ᾽ ἐστὶν ὁ δικαιοδότης, ὁ τῶν πολλῶν κρίσεων κύριος· ἄλλος δ᾽ ἐστὶν ὁ προσαγορευόμενος ἴδιος λόγος, ὃς τῶν ἀδεσπο-

Kk 3

regni partem reliquum fratrem addit, admodum puerum. Post Caesaris mortem, et res ad Philippos gestas, Antonius in Asiam profectus, Cleopatram summis honoribus complexus est, ut etiam acciperet in uxorem, et filios ex ea susciperet: ea in Actiaco bello una fuit, unaque fugit: utrumque postea Caesar Augustus ejecit, Aegyptumque a contumeliis ebriosorum dominorum liberavit.

§. 12.

Nunc provincia est, et tributa maxima pendit: ab hominibus modestis administratur, qui in eam mittuntur. Qui mittitur, regis loco est. Ei subest dicaeodotes, *id est, juri dicendo praefectus*, qui judicia exercendi pleraque potestatem habet. Tum alius,

Aegyptus.

ἀδεσπότων καὶ τῶν εἰς Καίσαρα πίπτειν ὀφειλόντων ἐξεταστής ἐστι· παρέπονται δὲ τούτοις ἀπελεύθεροι Καίσαρος καὶ οἰκονόμοι, μείζω καὶ ἐλάττω πεπιστευμένοι πράγματα. Ἔστι δὲ καὶ στρατιωτικοῦ τρία τάγματα, ὧν τὸ ἓν κατὰ τὴν πόλιν ἵδρυται, τἆλλα δ' ἐν τῇ χώρᾳ· χωρὶς δὲ τούτων ἐννέα μέν εἰσι σπεῖραι Ῥωμαίων, [1] τρεῖς μὲν ἐν τῇ πόλει, τρεῖς δ' ἐπὶ τῶν ὅρων τῆς Αἰθιοπίας ἐν Συήνῃ, φρουρὰ τοῖς τόποις, τρεῖς δὲ κατὰ τὴν ἄλλην χώραν. Εἰσὶ δὲ καὶ [2] ἱππαρχίαι τρεῖς ὁμοίως διατεταγμέναι κατὰ τοὺς

1) Sic dedi ex Medic. 3. 4. et Ven. 1. inserto μὲν, quod in editionibus abest. Post pro ὅρων Moscov. nota commutatione habet ὀρῶν.

2) Prior interpres ἱππαρχίαι legit, quod verius videtur. *Casaubonus.* Vertit enim *tres equitum turmae.* Ita vero etiam in Graeco diserte adferunt Ven. 1. 2. Medic. 3. 4. Paris. cum vulgo legatur ἐπαρχίαι, quod adsensu suo probat Moscov. Secutus sum priorem lectionem. Tum pro κατὰ τοὺς, quod Casaubonus ex libris posuit, vulgo ante eum legebatur ἐπὶ τούς.

alius, ἴδιος λόγος, nimirum qui peculiares rationes curat. Is in ea inquirit, quae sub alterius potestate non sunt, sed seorsim ad Caesarem recidunt. Hos comitantur Caesaris liberti et administratores, quibus majora et minora negotia committuntur. Sunt etiam tres militum cohortes: quarum una in urbe, reliquae in agro versantur: praeter has novem cohortes Romanorum, tres in urbe, tres in finibus Aethiopiae praesidio circa Syenem collocatae: et reliquae tres in caetera regione. Sunt etiam tres equitum turmae per loca opportuna eodem modo

τοὺς ἐπικαιρίους τόπους. Τῶν δ' ἐπιχωρίων ἀρχόντων [3] κατὰ πόλεις μὲν ὅ, τε ἐξηγητὴς ἐστι πορφύραν ἀμπεχόμενος, καὶ ἔχων πατρίους τιμὰς, καὶ ἐπιμέλειαν τῶν τῇ πόλει χρησίμων· καὶ ὁ ὑπομνηματογράφος, καὶ ἀρχιδικαστής· τέταρτος δὲ ὁ νυκτέρινος στρατηγός. [4] Ἦσαν δ' οὖν καὶ ἐπὶ τῶν βασιλέων αὗται αἱ ἀρχαί· κακῶς δὲ τῶν βασιλέων πολιτευομένων, ἠφανίζετο καὶ ἡ τῆς πόλεως εὐκαιρία διὰ τὴν ἀνομίαν. Ὁ γοῦν Πολύβιος γεγονὼς ἐν τῇ Aegyptus.

 πόλει,

3) Moscov. Paris. Ven. 1. 2. Medic. 4. κατὰ πόλιν, aliqui etiam interposito articulo τήν. Post ante verba τῇ πόλει Moscov. inserit ἐν.

4) Moscov. Medic. 3. 4. Ven. 1. ἦσαν μὲν οὖν. Proxime post iidem cum Paris. mutato vulgari ordine πολιτευομένων τῶν βασιλέων. Quod vulgo in seqq. legitur καὶ τὸ ἐπιχώριον φῦλον, melius Casaubonus, omisso τὸ, legendum censet καὶ ἐπιχώριον, uti res ipsa docet, quare illi obtemperavi. Tum ex ipsis codicibus Casaubonianis et meis reposui τρίτον δ' ἦν, cum vulgo in editionibus legatur τρίτον δή. Tum Moscov. Medic. 4. καὶ γὰρ εἰ. Pro ἔθους, ut fit, male Medic. 3. Paris. ἔθνους. Tum in Moscov. τοῦ deest ante Φύσκωνος. Post inter πλεονάκις et πολλάκις variant codices. Pro ἤφιη, quod est in editionibus, ex Moscov. Paris. Medic. 3. dedi ἀφίει.

do dispositae. Ex indigenis magistratibus in urbe est exegetes, *sive interpres*, qui purpuram gestat, et patrios honores habet, et ea curat, quae urbi sunt necessaria. Idem commentariorum scriba, et judicum praefectus. Quartus est praetor nocturnus. Hi magistratus etiam tempore regum erant: sed cum reges male viverent, horum vitio et injustitia etiam bonus urbis status corrumpebatur. Certe Polybius, cum in ea urbe fuisset, eum statum,

Aegyptus. πόλει, βδελύττεται τὴν τότε κατάστασιν, καὶ φησι τρία γένη τὴν πόλιν οἰκεῖν, τό, τε Αἰγύπτιον, καὶ ἐπιχώριον φῦλον ὀξὺ, καὶ πολιτικὸν, καὶ τὸ μισθοφορικὸν πολὺ, καὶ ἀνάγωγον· ἐξ ἔθους γὰρ παλαιοῦ ξένους ἔτρεφον τοὺς τὰ ὅπλα ἔχοντας, ἄρχειν μᾶλλον, ἢ ἄρχεσθαι δεδιδαγμένους διὰ τὴν τῶν βασιλέων οὐδένειαν. Τρίτον δ' ἦν γένος τὸ τῶν Ἀλεξανδρέων, οὐδ' αὐτὸ εὐκρινῶς πολιτικὸν διὰ τὰς αὐτὰς αἰτίας· κρεῖττον δ' ἐκείνων ὅμως· καὶ γὰρ οἱ μιγάδες Ἕλληνες ὅμως ἀνέκαθεν ἦσαν, καὶ ἐμέμνηντο τοῦ κοινοῦ τῶν Ἑλλήνων ἔθους· ἠφανισμένου δὲ καὶ τούτου τοῦ πλήθους, μάλιστα ὑπὸ τοῦ Εὐεργέτου τοῦ Φύσκωνος, καθ' ὃν ἧκεν εἰς τὴν Ἀλε-
p. 798. ξάνδρειαν ὁ Πολύβιος. Καταστασιαζόμενος γὰρ ὁ Φύσκων, πλεονάκις τοῖς στρατιώταις ἐφίει τὰ πλήθη,

tum, qui tum erat, detestatur. Narrat autem, tria hominum genera urbem habitare: Aegyptios, et indigenam nationem acrem, atque civilem, et mercenarios milites, multos sane ac refractarios: nam ex antiqua consuetudine peregrinos milites alebant, qui propter regum vilitatem potius imperare, quam servire didicerant. Tertium genus erat Alexandrinorum, nec id valde civile, propter easdem caussas: melius tamen, quam illi. Nam convenae cum a Graecis essent oriundi, communis Graecorum consuetudinis non erant plane immemores. Sed haec quoque multitudo sub Evergeta Physcone periit, quo regnante Polybius Alexandriam venit. Is Physco cum seditionibus divexaretur, saepenumero plebem militibus objecit atque interfecit.

θη, καὶ διέφθειρε. Τοιούτων δὴ, φησὶν, ὄντων τῶν ἐν τῇ πόλει, λοιπὸν ἦν τῷ ὄντι τὸ τοῦ ποιητοῦ· Aegyptus.

Αἴγυπτόνδ' ἰέναι δολιχὴν ὁδὸν ἀργαλέην τε.

§. 13.

Τοιαῦτα δ' ἦν, εἰ μὴ χεῖρω, καὶ τὰ τῶν ὕστερον βασιλέων. [1] Ῥωμαῖοι δ' εἰς δύναμιν, ὡς εἰπεῖν, ἐπηνώρθωσαν τὰ πολλά· τὴν μὲν πόλιν διατάξαντες, ὡς εἶπον· κατὰ δὲ τὴν χώραν ἐπιστρατήγους τινὰς καὶ νομάρχας καὶ ἐθνάρχας καλουμένους ἀποδείξαντες, πραγμάτων οὐ μεγάλων ἐπιστατεῖν ἠξιω-

1) Quod praecedit καὶ, delevi cum Medic. 3. Post μονάρχας, uti est in editionibus, ex Mofcov. Parif. mutavi in νομάρχας, uti conjecerat Cafaubonus, qua voce utuntur fcriptores de fingulorum nomorum praefectis. Tum ex Mofcov. ἐπιστρατήγους, mutata accentus fede, dedi pro ἐπιστρατηγούς. Sic ἀποστράτηγος fcribitur in auctoribus. Schneideri Lexicon eam vocem plane ignorat. Verba proxima hoc ordine componit Medic. 3. 4. Mofcov. οὗτος ὁ τόπος. Vocem proximam ὡς, quae in editionibus prioribus erat, recte uncis coercuit Cafaubonus, nec eam cum codicibus vetus interpres agnofcit. Inter ἐμπορεῖον et ἐμπόριον, ut alibi, variant libri. Ante δισχιλίων deest καὶ in Mofcov. Medic. 3. 4.

cit. Hoc urbis ftatu, inquit Polybius, reftabat revera poëtae illud:

Longum iter exantlatur in Aegyptum atque molestum.

§. 13.

Similis etiam erat, fi non pejor, pofteriorum regum ratio. Romani multa pro viribus emendarunt, urbe (ut dictum eft) compofita, et quibusdam pro imperatoribus et nomarchis et ethnarchis per regionem conftitutis, quibus tamen haud magna negotia

Aegyptus. ἠξιωμένους. Τῆς δ' εὐκαιρίας τῆς κατὰ τὴν πόλιν τὸ μέγιστόν ἐστιν, ὅτι τῆς Αἰγύπτου πάσης μόνος ἐστὶν ὁ τόπος οὗτος πρὸς ἄμφω πεφυκὼς εὖ, τά τε ἐκ θαλάττης διὰ τὸ εὐλίμενον, καὶ τὰ ἐκ τῆς χώρας, ὅτι πάντα εὐμαρῶς ὁ ποταμὸς πορθμεύει, συνάγει τε εἰς τοιοῦτο χωρίον, ὅπερ μέγιστον ἐμπορεῖον τῆς οἰκουμένης ἐστί. Τῆς μὲν οὖν πόλεως ταύτας ἄν τις λέγοι τὰς ἀρετάς· τῆς Αἰγύπτου δὲ τὰς προσόδους ἔν τινι λόγῳ Κικέρων φράζει, φήσας κατ' ἐνιαυτὸν τῷ τῆς Κλεοπάτρας πατρὶ τῷ Αὐλητῇ προσφέρεσθαι φόρον ταλάντων μυρίων καὶ δισχιλίων πεντακοσίων. Ὅπου οὖν ὁ κάκιστα καὶ ῥαθυμότατα τὴν βασιλείαν διοικῶν τοσαῦτα προσωδεύετο, τί χρὴ νομίσαι τὰ νῦν, διὰ τοσαύτης ἐπιμελείας οἰκονομούμενα, καὶ τῶν Ἰνδικῶν ἐμπορίων, καὶ τῶν Τρωγλοδυτικῶν ἐπηυξημένων ἐπὶ τοσοῦτον; Πρότερον

negotia permittebantur. Urbis ubertas hinc potissimum est, quod hic solus Aegypti locus ad utraque idoneus est: et ad res maritimas, propter portus commoditatem; et ad terrestres, quia omnia facile in hunc locum flumine deferuntur, ubi maximum totius orbis emporium est. Atque urbis quidem virtutes hae sunt. Aegypti reditus Cicero in quadam oratione indicans, Auletae, patri Cleopatrae, ait quotannis ccıↄↄ cıↄ cıↄ ıↄ talentorum tributum pendi consuevisse. Ubi vero is, qui pessime ac segnissime regnum administrabat, tantum in reditibus habuit, quid censendum putas de praesentibus, quae tanta diligentia a Romanis administrantur, Indicis etiam Troglodyticisque negotiationibus in tantum auctis? Superiore sane tempore ne viginti quidem

τερον μέν γε οὐδ᾽ εἴκοσι πλοῖα ἐθάῤῥει τὸν Ἀράβιον κόλπον διαπερᾶν, ὥστε ἔξω τῶν στενῶν ὑπερκύπτειν· νῦν δὲ καὶ στόλοι μεγάλοι στέλλονται μέχρι τῆς Ἰνδικῆς καὶ τῶν ἄκρων τῶν Αἰθιοπικῶν, ἐξ ὧν ὁ πολυτιμότατος κομίζεται φόρτος εἰς τὴν Αἴγυπτον, κἀντεῦθεν πάλιν εἰς τοὺς ἄλλους ἐκπέμπεται τόπους· [2] ὥστε τὰ τέλη διπλάσια συνάγεσθαι, τὰ μὲν εἰσαγωγικὰ, τὰ δὲ ἐξαγωγικά· τῶν δὲ βαρυτίμων βαρέα καὶ τὰ τέλη· καὶ γὰρ δὴ καὶ μονοπωλίας ἔχει. Μόνη γὰρ ἡ Ἀλεξάνδρεια τῶν τοιούτων, ὡς ἐπὶ τὸ πολὺ, καὶ ὑποδοχεῖόν ἐστι, καὶ χορηγεῖ τοῖς ἐκτός. Ἔτι δὲ μᾶλλον κατιδεῖν ἐστι τὴν εὐφυΐαν ταύτην περιοδεύοντι τὴν χώραν, καὶ πρῶτον τὴν παραλίαν ἀρξαμένην ἀπὸ τοῦ Καταβαθμοῦ· μέχρι Aegyptus.

2) Sic pro ὥστε dant Moſcov. Medic. 3. 4. et iidem συνάγεται pro συνάγεσθαι. Tum Medic. 4. διπλᾶ pro διπλάσια. Μονοπωλίας praeſcribunt codices mei omnes per ι melius, quam editiones per ει.

dromorum. Post vestibula est templum, quod ingens atrium habet ac memoratu dignum, et delubrum mediocre: simulacrum vero aut nullum, aut non ad hominis formam, sed bestiae alicujus effictum. Ex utraque parte atrii projectae sunt quae pinnae appellantur: sunt autem duo muri, aeque alti atque templum, in initio inter se distantes paulo plus, quam est latitudo crepidinis templi, postea prorsum procedunt ad inclinantes invicem lineas,

ἀναγλυφὰς δ' ἔχουσιν οἱ τοῖχοι οὗτοι μεγάλων εἰδώλων, ὁμοίων τοῖς Τυῤῥηνικοῖς, καὶ τοῖς ἀρχαίοις σφόδρα τῶν παρὰ τοῖς Ἕλλησι δημιουργημάτων. Ἐςι δέ τις καὶ πολύςυλος οἶκος, καθάπερ ἐν Μέμφει, βαρβαρικὴν ἔχων τὴν κατασκευήν· πλὴν γὰρ τοῦ μεγάλων εἶναι, καὶ πολλῶν, καὶ πολυςίχων τῶν ςύλων, οὐδὲν ἔχει χάριεν οὐδὲ γραφικόν, ἀλλὰ ματαιοπονίαν ἐμφαίνει μᾶλλον. Aegyptus.

§. 29.

Ἐν δὲ τῇ Ἡλιουπόλει καὶ οἴκους ¹ εἴδομεν μεγάλους, ἐν οἷς διέτριβον οἱ ἱερεῖς· μάλιςα γὰρ δὴ ταύτην

1) Pariſ. ἴδομεν. Poſt ordinem verborum ἡμῖν ἐδείκνυτο invertit Moſcov. et prius, ἡμῖν, Medic. 3. omittit. Tum pro Αἰλίῳ Γάλλῳ Medic. 3. 4. Moſcov. et Venet. 1. dant Αἰμιλίῳ; ac pro Γάλλῳ Medic. 3. 4. Γάλῳ. In nomine Αἴλιος conſentiunt ſupra lib. II. p. m. 313. codd. Ceterum de ipſo hoc Gallo cf. Valeſius ad Ammianum Marcell. XVII. 4. Pro ἱερέων Moſcov. contracte ἱερῶν. Deinde, ordine inverſo, Moſcov. Medic. 3. 4. ἐνταῦθα ἐκεῖ.

neas, usque ad L aut LX cubitos. Hi parietes ingentium ſimulacrorum ſculpturas habent, Etruſcis et antiquis Graeciae operibus perſimilium. Extat etiam aedes quaedam multis columnis ſtructa, ſicuti Memphi, Barbarica fabrica, nam praeterquam quod columnae multae ſunt, et ingentes, et multiplici ordine conſtitutae, nihil pictum aut elegans habet, ſed potius inanem quendam laborem arguit.

§. 29.

Heliopoli domos amplas vidimus, in quibus ſacerdotes habitabant. Hanc enim perhibent olim ſacerdo-

Aegyptus. ταύτην κατοικίαν ἱερέων γεγονέναι φασὶ τὸ παλαιὸν, φιλοσόφων ἀνδρῶν καὶ ἀστρονομικῶν· ἐκλέλοιπε δὲ καὶ τοῦτο νυνὶ τὸ σύστημα, καὶ ἡ ἄσκησις. Ἐκεῖ μὲν οὖν οὐδεὶς ἡμῖν ἐδείκνυτο τῆς τοιαύτης ἀσκήσεως προεστὼς, ἀλλ' οἱ ἱεροποιοὶ μόνον, καὶ ἐξηγηταὶ τοῖς ξένοις τῶν περὶ τὰ ἱερά. Παρηκολούθει δέ τις ἐξ Ἀλεξανδρείας ἀναπλέοντι εἰς τὴν Αἴγυπτον Αἰλίῳ Γάλλῳ τῷ ἡγεμόνι Χαιρήμων τοὔνομα, προσποιούμενος τοιαύτην τινὰ ἐπιστήμην· γελώμενος δὲ τὸ πλέον, ὡς ἀλαζὼν καὶ ἰδιώτης· ἐκεῖ οὖν ἐδείκνυντο οἵ τε τῶν ἱερέων οἶκοι, καὶ Πλάτωνος καὶ Εὐδόξου διατριβαί. Συνανέβη γὰρ δὴ τῷ Πλάτωνι ὁ Εὔδοξος δεῦρο, καὶ συνδιέτριψαν τοῖς ἱερεῦσιν ἐκεῖνοι ἐνταῦθα ²) τρισκαίδεκα ἔτη, ὡς εἴρηταί τισι· περιττοὺς γὰρ ὄντας κατὰ τὴν ἐπιστήμην τῶν οὐρανίων, μυστ-

2) Epitomes auctor habet ἔτη τρία.

cerdotum habitationem fuisse, hominum philosophiae et astronomiae deditorum: nunc is ordo ac studium defecit, nec quisquam nobis tali exercitationi praefectus ostendebatur, sed homines tantum, qui sacrificia curarent, atque ritus eos peregrinis commonstrarent. Comitatus quidem est Aelium Gallum ducem ex Alexandria navigantem in Aegyptum quidam nomine Chaeremon, qui ejusmodi scientiam profitebatur: sed ob ignorationem et arrogantiam fere plurimum deridebatur. Ostendebantur ergo ibi sacerdotum aedes ac domicilia, in quibus Eudoxus et Plato egerant. Etenim Eudoxus cum Platone eo profectus est: et ambo cum sacerdotibus annos tredecim sunt versati, ut nonnulli tradiderunt. Isti sacerdotes cum rerum coelestium scientia

μυστικοὺς δὲ καὶ δυσμεταδότους, τῷ χρόνῳ καὶ ταῖς θεραπείαις ἐξελιπάρησαν, ὥστε τινα τῶν θεωρημάτων ἱστορῆσαι· τὰ πολλὰ δὲ ἀπεκρύψαντο οἱ βάρβαροι. Οὗτοι δὲ τὰ ἐπιτρέχοντα τῆς ἡμέρας καὶ τῆς νυκτὸς μόρια ταῖς τριακοσίαις ἑξηκονταπέντε ἡμέραις εἰς τὴν ἐκπλήρωσιν τοῦ ἐνιαυσίου χρόνου παρέδοσαν· ἀλλ' ἠγνοεῖτο τέως ὁ ἐνιαυτὸς παρὰ τοῖς Ἕλλησιν, ὡς καὶ ἄλλα πλείω, ἕως οἱ νεώτεροι ἀστρολόγοι παρέλαβον παρὰ τῶν μεθερμηνευσάντων εἰς τὸ Ἑλληνικὸν τὰ τῶν ἱερέων ὑπομνήματα· καὶ ἔτι νῦν παραλαμβάνουσι τὰ ἀπ' ἐκείνων, ὁμοίως καὶ τὰ τῶν Χαλδαίων. Aegyptus.

§. 30.

ſcientia praeſtarent, caeterum arcanam eam ſervarent, neque cum quoquam communicare vellent: tamen et tempore et obſequio devicti nonnulla praecepta enarraverunt, cum plurima interim Barbari occultarent. Ii excurrentes diei ac noctis particulas ſupra CCCLXV dies ad anni complementum tradiderunt. Ignorabatur annus eo tempore apud Graecos, quemadmodum et alia permulta: donec juniores aſtrologi ab iis ea acceperunt, qui ſacerdotum monumenta in Graecam linguam tranſtulerunt, et adhuc tum ab illis, tum a Chaldaeis accipiunt.

§. 30.

Aegyptus.

§. 30.

Ἐντεῦθεν [1] δὴ ὁ Νεῖλός ἐστιν ὁ ὑπὲρ τοῦ Δέλτα· τούτου δὴ τὰ μὲν δεξιὰ καλοῦσι Λιβύην, ἀναπλέοντι· ὥσπερ καὶ τὰ περὶ τὴν Ἀλεξάνδρειαν καὶ τὴν Μαρεῶτιν· τὰ δ' ἐν ἀριστερᾷ Ἀραβίαν. Ἡ μὲν οὖν Ἡλιοπολῖτις ἐν τῇ Ἀραβίᾳ ἐστίν· ἐν δὲ τῇ Λιβύῃ Κερκέσουρα πόλις κατὰ τὰς Εὐδόξου κειμένη σκοπάς· δείκνυται γὰρ σκοπή τις πρὸ τῆς Ἡλίου πόλεως, καθάπερ καὶ πρὸ τῆς Κνίδου, [2] πρὸς ἣν ἐσημειοῦτο ἐκεῖνος τῶν οὐρανίων τινὰς κινήσεις· ὁ δὲ νομὸς [3] Λητοπολίτης οὗτος. Ἀνα-

1) Hanc particulam Moscov. commutat cum part. δὲ, ut idem, Paris. et Medic. 3. 4. post pronom. τούτου. Tum pro Μαρεῶτιν codd. quidam Μαραιῶτιν. Deinde pro Κερκέσουρα Moscov. Καρκέσουρα, et Casauboniani Κερκέσουρα. Plura exposui ad Melam 1, 9, 2.

2) Sic omnes mei codd. pro vulgari in editionibus, καθ' ἥν.

3) Sic, per η, exhibet Moscov. Ceteri cum omnibus edit. per ι, Λιτοπολίτης; Casaub. tamen in notis emendat Λατοπολίτης ex Steph. et Ptolemaeo. Λατοπολίτης apud Strabonem

§. 30.

Hinc jam Nilus supra Delta est, cujus dextra ubi sursum navigatur, Libyam vocant, inque his ea, quae Alexandriae et Mareotidi proxima sunt: sinistra vero Arabiam. Ergo Heliopolitis praefectura in Arabia censebitur. In Libya vero Cercesura urbs est, juxta Eudoxi speculas sita. Etenim ante Heliopolim specula quaedam ostenditur, quemadmodum et ante Cnidum: de quibus ille coelestium corporum motus observabat. Praefectura haec Letopolitana nominatur. Ulterius

Ἀναπλεύσαντι δ᾽ ἐστὶ Βαβυλὼν, Φρούριον ἐρυμνὸν, ἀποστάντων ἐνταῦθα Βαβυλωνίων τινῶν, εἶτα διαπραξαμένων ἐνταῦθα κατοικίαν παρὰ τῶν βασιλέων· νυνὶ δ᾽ ἐστὶ στρατόπεδον ἑνὸς τῶν τριῶν ταγμάτων τῶν φρουρούντων τὴν Αἴγυπτον· ῥάχις δ᾽ ἐστὶν ἀπὸ τοῦ στρατοπέδου καὶ μέχρι Νείλου καθήκουσα, δι᾽ ἧς ἀπὸ τοῦ ποταμοῦ τροχοὶ καὶ κοχλίαι τὸ ὕδωρ ἀνάγουσιν, ἀνδρῶν ἑκατὸν πεντήκοντα ἐργαζομένων, δεσμίων· ἀφορῶνται δ᾽ ἐνθάδε τηλαυγῶς αἱ Πυραμίδες ἐν τῇ περαίᾳ ἐν Μέμφει, καὶ εἰσὶ πλησίον. Aegyptus.

§. 31.

Ἐγγὺς δὲ καὶ ἡ Μέμφις αὐτὴ, τὸ βασίλειον τῶν Αἰγυπτίων· ἔστι γὰρ ἀπὸ τοῦ Δέλτα τρίσχοινον εἰς

bonem sequitur infra p. 817. Post Paris. Moscov. et Medic. 4. ἐνθένδε, Medic. 3. ἐνθέδε pro ἐνθάδε.

terius sursum naviganti est Babylon, castellum munitum, a Babyloniis quibusdam conditum: qui huc secedentes, eo in loco habitationem a regibus impetrarunt. Nunc in ea collocata est una ex tribus legionibus, quae Aegyptum custodiunt. Ab hoc loco usque ad Nilum jugum quoddam descendit, per quod custodiunt: aqua rotis et cochleis a flumine trahitur, CL hominibus captivis continue opus facientibus. Hinc Pyramides, quae apud Memphim sunt, in ulteriore regione manifeste apparent, quae quidem propinquae sunt.

§. 31.

Propinqua est etiam Memphis, Aegyptiorum regia: tribus schoenis a Delta dissita. Ea Apidis templum

Aegyptus.

εἰς αὐτήν· ἔχει δὲ ἱερὰ τό, τε τοῦ Ἄπιδος, ὅς ἐστιν ὁ αὐτὸς καὶ Ὄσιρις· ὅπου ὁ βοῦς ὁ Ἆπις ἐν σηκῷ τινι τρέφεται, θεός, ὡς ἔφην, νομιζόμενος, διάλευκος τὸ μέτωπον καὶ ἄλλα τινὰ [1] μικρὰ τοῦ σώματος· τὰ δ' ἄλλα μέλας· οἷς σημείοις ἀεὶ κρίνουσι τὸν ἐπιτήδειον εἰς τὴν διαδοχήν, ἀπογενομένου τοῦ τὴν τιμὴν ἔχοντος. Ἔστι δ' αὐλὴ προκειμένη τοῦ σηκοῦ, ἐν ᾗ καὶ ἄλλος σηκὸς τῆς μητρὸς τοῦ βοός· εἰς ταύτην δὲ τὴν αὐλὴν ἐξαφιᾶσι τὸν Ἆπιν καθ' ὥραν τινά, καὶ μάλιστα πρὸς ἐπίδειξιν τοῖς ξένοις· ὁρῶσι μὲν γὰρ καὶ διὰ θυρίδος ἐν τῷ σηκῷ· βούλονται δὲ καὶ ἔξω· ἀποσκιρτήσαντα δ' ἐν αὐτῇ μικρά, ἀνα-

1) Casauboniani, i. e. Ven. 2. μέρη. Post pro σημείοις Moscov. σημεῖον, sine sensu. Tum ἐν ᾗ dedi ex Moscov. Ven. 1. Medic. 3. 4. pro ἐν ᾧ, quod editiones habent. Deinde Ἡφαιστίῳ per simplex jota efferunt Moscov. et Paris.; qui etiam paulo post Ἡφαίστιον; et in seqq. delet τούτῳ cum Moscov. Venet. 1. et Medic. 3. 4. quod pronomen iidem translatum addunt subsequenti δρόμῳ, ubi in ceteris deest. Voc. vero καὶ μονόλιθος — ἐν τῷ δρόμῳ ante Casaub. in edit. non legebantur.

plum habet, qui idem est, qui Osiris. Ibi bos Apis in septo quodam alitur, et, ut diximus, apud eos pro deo habetur, albus frontem et quasdam parvas corporis partes, caetera vero niger: quibus signis judicant, qui sit ad successionem idoneus, alio, qui colebatur, defuncto. Ante id septum aula quaedam est, et in ea aliud septum matris ejus bovis. In hanc aulam nonnunquam Apis emittitur, praesertim ut peregrinis ostendatur: alias enim per fenestram quandam videtur: sed volunt, ut etiam extra specte-

ἀναλαμβάνουσι πάλιν εἰς τὴν οἰκείαν στάσιν. Τό, τε δὴ τοῦ Ἄπιδός ἐστιν ἱερὸν παρακείμενον τῷ Ἡφαιστείῳ, καὶ αὐτὸ τὸ Ἡφαίστειον πολυτελῶς κατεσκευασμένον, ναοῦ τε μεγέθει, καὶ τοῖς ἄλλοις. Πρόκειται δ' ἐν τῷ δρόμῳ τούτῳ καὶ μονόλιθος κολοσσός· ἔθος δ' ἐστὶν ἐν τῷ δρόμῳ ταύρων ἀγῶνας συντελεῖσθαι πρὸς ἀλλήλους, οὓς ἐπίτηδες τρέφουσί τινες, ὥσπερ οἱ ἱπποτρόφοι· συμβάλλουσι γὰρ εἰς μάχην ἀφέντες· ὁ δὲ κρείττων νομισθεὶς, ἄθλου τυγχάνει. Ἔστι δ' ἐν Μέμφει καὶ Ἀφροδίτης ἱερὸν, θεᾶς Ἑλληνίδος νομιζομένης· τινὲς δὲ Σελήνης ἱερὸν εἶναί φασιν. Aegyptus.

spectetur, itaque ubi paululum foris exsultim lusit, rursum in proprium locum recipitur. Apidis templum Vulcanio adjacet, quae est aedes, templi magnitudine aliisque rebus sumptuose adornata. In fronte dromi colossus jacet, ex integro lapide. In hoc dromo tauri committi solent ad pugnam, quos nonnulli dedita opera ad hoc ipsum alunt, quemadmodum alii equos; dimissi inter se pugnam cient: victori praemium datur. Memphi est etiam Veneris fanum, quae Graeca dea censetur: quidam Lunae id dicunt.

Aegy-
pti.

§. 32.

Ἔστι δὲ καὶ Σεράπειον ἐν ἀμμώδει τόπῳ σφόδρα, ὥσθ' ὑπ' ἀνέμων θῖνας ἄμμων σωρεύεσθαι, ¹ ἀφ' ὧν αἱ σφίγγες, αἱ μὲν καὶ μέχρι τῆς κεφαλῆς ἑωρῶντο ὑφ' ὑμῶν κατακεχωσμέναι, αἱ δ' ἡμιφανεῖς· ἐξ ὧν εἰκάζειν παρῆν τὸν κίνδυνον, εἴ τῳ βαδίζοντι πρὸς τὸ ἱερὸν λαῖλαψ ἐπιπέσοι. Πόλις δ' ἐστὶ μεγάλη τε καὶ εὔανδρος, δευτέρα μετὰ Ἀλεξάνδρειαν, μιγάδων ἀνδρῶν, καθάπερ καὶ τῶν ἐκεῖ συνῳκισμένων· πρόκεινται δὲ καὶ λίμναι τῆς πόλεως καὶ τῶν βασιλείων, ἃ νῦν μὲν κατέσπασται, καὶ ἔστιν ἔρημα· ἵδρυται δ' ἐφ' ὕψους καθήκοντα μέχρι

τοῦ

1) Pro ἀφ' ὧν Medic. 3. 4. et Ven. ἐφ' ὧν dant, iidemque cum Moscov. articulum ante κεφαλῆς omittunt. Post pro ὑφ' ὑμῶν Palmerius in exercitat. ad Graec. auct. legi vult ὑπ' ἡμῶν, et hanc emendationem non indigere dicit probationibus, quia per se satis stet, nullo adminiculo. Equidem vulgatam lectionem minime lacessendam puto. Tum pro αἱ ἐπὶ Moscov. εἶναι, et pro subseq. πρὸς τὸ Venet. ἐν ἐπὶ τὸ, et Medic. 4. εἰς τό.

§. 32.

Est etiam Serapium in loco valde arenoso, adeo ut arenae colles a ventis exaggerentur: ibi vidimus sphinges alias usque ad capita obrutas, alias dimidia duntaxat eminentes, unde conjicere licebat magnitudinem periculi, si quem eo proficiscentem turbo venti deprehenderet. Urbs magna est et populosa, et secunda post Alexandream, hominibus convenis referta. Extant lacus in fronte urbis et regiarum, quae nunc dirutae sunt et desertae: sitae olim in loco edito, et

usque

τοῦ κάτω τῆς πόλεως ἐδάφους· συνάπτει δ' ἄλσος αὐτῷ καὶ λίμνη. Aegyptus.

§. 33.

Τετταράκοντα δ' ἀπὸ τῆς πόλεως σαδίους p. 808.
[1] προελθόντι, ὀρεινή τις ὀφρύς ἐςιν, ἐφ' ᾗ πολλαὶ μὲν Πυραμίδες εἰσὶ, τάφοι τῶν βασιλέων· τρεῖς δ' ἀξιόλογοι· τὰς δὲ δύο τούτων καὶ ἐν τοῖς ἑπτὰ θεάμασι καταριθμοῦνται· εἰσὶ γὰρ σαδιαῖαι τὸ ὕψος, τετράγωνοι τῷ σχήματι, τῆς πλευρᾶς ἑκάστης μικρῷ μεῖζον τὸ ὕψος ἔχουσαι· μικρῷ δὲ καὶ ἡ ἑτέρα τῆς ἑτέρας ἐςὶ μείζων· ἔχει δ' ἐν ὕψει μέσως πως τῶν πλευρῶν λίθον ἐξαιρέσιμον· ἀρθέντος δὲ σύριγξ

1) Parif. προσελθόντι, ac cum Medic. 3. 4. et Mofcov. inverfo ordine, εἰσὶ μὲν Πυραμίδες. Poft Medic. 3. 4. τὸ σχῆμα pro τῷ σχήματι. Tum Mofcov. verba ἐςὶ δ' ἐν, immutato ordine, ponit pro δ' ἐςὶν ἐν, et cum Venet. 1. ac Parifienfi μεῖζον pro μείζων. In feqq. pro ταῖν δυοῖν Mofcov. et Parif. dant τῶν δυεῖν, Medic. 4. perperam τοῖν δυοῖν.

usque ad inferiorem urbis partem defcendentes, ubi lucus et lacus adjunguntur.

§. 33.

Quadraginta ftadiis ab urbe eft montanum quoddam fupercilium, in quo ftant multae Pyramides, regum fepulturae. Earum tres memorabiles funt: duae inter feptem orbis fpectacula adnumerantur. Singulae altitudine ftadii, figura quadrata, altitudinem habentes paulo majorem quolibet latere, et mole fe paululum excedentes. In media fere laterum altitudine lapis exemtilis eft: eoque fublato,

Aegyptus. σύριγξ ἐςὶ σκολιὰ μέχρι τῆς θήκης· αὗται μὲν οὖν ἐγγὺς ἀλλήλων εἰσὶ τῷ αὐτῷ ἐπιπέδῳ· ἀνωτέρω δ' ἐςὶν ἐν ὕψει μείζονι τῆς ὀρεινῆς ἡ τρίτη πολὺ ἐλάττων ταῖν δυοῖν, πολὺ δὲ μείζονος δαπάνης κατεσκευασμένη· ἀπὸ γὰρ θεμελίων μέχρι μέσου σχεδόν τι μέλανος λίθου ἐςίν· ἐξ οὗ καὶ τὰς θυΐας κατασκευάζουσι κομίζοντες πόῤῥωθεν ² ἀπὸ τῶν τῆς Αἰθιοπίας ὀρῶν· ὃς τῷ σκληρὸς εἶναι καὶ δυσκατέργαςος πολυτελῆ τὴν πραγματείαν παρέσχε· λέγεται δὲ τῆς ἑταίρας τάφος γεγονὼς ὑπὸ τῶν ἐραςῶν, ἣν Σαπφὼ μὲν, ἡ τῶν μελῶν ποιήτρια, καλεῖ Δωρίχαν, ἐρωμένην τοῦ ἀδελφοῦ αὐτῆς Χαράξου γεγονυῖαν,

2) Casaubonus, ut facilius flueret oratio, sic posuit, cum codices omnes priscaeque editiones contextum hunc faciant: Ἀπὸ γὰρ τῆς Αἰθιοπίας ὀρῶν, καὶ τῷ σκληρὸς εἶναι —. Post Δωρίχαν, per ω, dedi ex Moscoviensi; editiones Δορίχαν. Lectionem meam habet Athenaeus XIII, 69. Eum ἐμπορίαν per ει scriptum, ἐμπορείαν Medic. 3. 4. et Moscov. exhibent; ex more quidem suo. In seqq. Ῥοδώπιν per ω in media syllaba scribendum censet Casaub. ex Herodoto II. 135. codd. tamen perstant in ο.

lato, obliqua fistula usque ad loculum. Atque eae inter se proximae in eodem sunt plano. Ulterius in majore montis altitudine est tertia multo primis duabus minor, majore tamen impensa structa. Nam ab ipsis fere fundamentis usque ad medium constat ex nigro lapide, ex quo mortaria faciunt, ab extremis Aethiopiae montibus delato: qui cum et durus sit, et operatu difficilis, reddidit opus sumtuosum. Hic dicitur meretricis sepultura, ab amantibus effecta. Hanc mulierem Sappho poëtria Doricham

γονυῖαν, οἶνον κατάγοντος εἰς Ναύκρατιν Λέσβιον κατ᾽ ἐμπορίαν· ἄλλοι δ᾽ ὀνομάζουσι Ῥοδόπην· μυθεύουσι δ᾽, ὅτι λουομένης αὐτῆς, ἓν τῶν ὑποδημάτων αὐτῆς ἁρπάσας ἀετὸς παρὰ τῆς θεραπαίνης, κομίσειεν εἰς Μέμφιν· καὶ τοῦ βασιλέως δικαιοδοτοῦντος [3] ὑπαίθριος γενόμενος, κατὰ κορυφὴν αὐτοῦ ῥίψειε τὸ ὑπόδημα εἰς τὸν κόλπον· ὁ δὲ καὶ τῷ ῥυθμῷ τοῦ ὑποδήματος, καὶ τῷ παραδόξῳ κινηθεὶς, περιπέμψειεν εἰς τὴν χώραν κατὰ ζήτησιν τῆς φορούσης ἀνθρώπου τοῦτο· ἐν τῇ πόλει δὲ εὑρεθεῖσα τῶν Ναυκρατιτῶν ἀναχθείη καὶ γένοιτο γυνὴ τοῦ βασιλέως· τελευτήσασα δὲ τοῦ λεχθέντος τύχοι τάφου. Aegyptus.

3) Medic. 3. dat ἐν ὑπαίθρῳ. Post pro κατὰ κορυφὴν Venet. 1: Medic. 4. malunt κατὰ κορυφῆς. Deinde voc. ἐν τῇ πόλει δὲ εὑρεθεῖσα sic ordinant Moscov. et Medic. 3. 4. εὑρεθεῖσα δὲ ἐν τῇ πόλει. Tum pro τύχοι Medic. 3. τύχῃ.

richam vocat, et fratris sui Charaxi amicam, cum is Lesbium vinum negotiator Naucratim portaret. Alii eam Rhodopem nominant, atque fabulam quandam narrant: ea dum lavaretur, aquilam alterum e calceis e manu ancillae correptum Memphim deportasse: et in sublime supra regis verticem jura dantis evolantem, calceum in hujus gremium demisisse: regem calcei concinnitate et rei novitate permotum, per totam regionem dimisisse ad inquirendam eam, quae hujusmodi calceum gestaret: eam in urbe Naucratitarum inventam, atque adductam, regis uxorem factam, et post mortem hac sepultura adfectam fuisse.

Aegyptus.

§. 34.

Ἓν δέ τι τῶν ὁραθέντων ὑφ' ἡμῶν ἐν ταῖς Πυραμίσι παραδόξων οὐκ ἄξιον παραλιπεῖν. Ἐκ γὰρ τῆς [1] λατύπης σωροί τινες πρὸ τῶν Πυραμίδων κεῖνται· ἐν τούτοις δ' εὑρίσκεται ψήγματα καὶ τύπῳ καὶ μεγέθει φακοειδῆ· ἐνίοις δὲ καὶ ὡς ἂν πτίσμα οἷον ἡμιλεπίστων ὑποτρέχει. Φασὶ δ' ἀπολιθωθῆναι λείψανα τῆς τῶν ἐργαζομένων τροφῆς· οὐκ ἀπέοικε δέ· καὶ γὰρ οἴκοι παρ' ἡμῖν λόφος τίς ἐστιν ἐν πεδίῳ παραμήκης· οὗτος δ' ἐστὶ μεστὸς ψήφων φακοειδῶν λίθου πωρίας· καὶ αἱ θαλάττιαι δὲ καὶ αἱ ποτάμιαι ψῆφοι σχεδόν τι τὴν αὐτὴν ἀπορίαν ὑπο-

1) Medic. 3. quod ex simili sono factum, λατίστης. Post pro μεστὸς Moscov. μεστῶν. Tum pro πωρίας (sic omnes mei codd.) ante Casaub. legebatur πορείας, ut dicit, inepte. λίθος πωρίας autem, adjicit, est idem, quod πῶρος. Deinde Medic. 4. ποτάμιοι pro ποτάμιαι, et σχεδόν τοι pro σχεδόν τι. In seqq. pro εὑρεσιλογίαν editiones priscae, mendo commisso, dederunt εὕρεσι γλοίαν, quas secutus est Xylander, uti ex ejus versione apparet. Vertit enim: *lentorem seu mucorem aliquem habent*, acriter hoc nomine castigatus a Casaubono.

§. 34.

Sed unum de miris rebus a nobis in Pyramidibus visum, haud quaquam praetereundum est. Acervi quidam lapidum frustulis, dolando detritis ante Pyramides jacent: in his lapilli et forma, et magnitudine lentis inveniuntur, quidam ut hordei grana, quae semidecorticata eminent: narrant reliquias ciborum, qui operariis dati fuerant, in lapidem induruisse: quod quidem satis videtur verisimile. Nam et apud nos collis quidam est oblongus, in campo situs, qui tos-

ὑπογράφουσιν· ἀλλ᾽ αὗται μὲν ἐν τῇ κινήσει τῇ διὰ τοῦ ῥεύματος εὑρεσιλογίαν τινὰ ἔχουσιν, ἐκεῖ δ᾽ ἀπορωτέρα ἡ σκέψις· εἴρηται δ᾽ ἐν ἄλλοις καὶ [2] διότι περὶ τὸ μέταλλον τῶν λίθων, ἐξ ὧν αἱ Πυραμίδες γεγόνασιν [ἐν ὕψει ταῖς Πυραμίσιν] ὅπερ ἐν τῇ Ἀραβίᾳ, Τρωϊκόν τι καλεῖται πετρῶδες ἱκανῶς ὄρος, καὶ σπήλαια ὑπ᾽ αὐτῷ, καὶ κώμη πλησίον καὶ τούτοις καὶ τῷ ποταμῷ, Τροία καλουμένη, κατοικία παλαιὰ τῶν Μενελάῳ συγκατακολουθησάντων αἰχμαλώτων Τρώων, καταμεινάντων δ᾽ αὐτόθι. Aegyptus.

2) Inter διότι et ὅτι codd. ut fit, ambigunt. Post edit. ita legunt: ἐξ ὧν αἱ Πυραμίδες γεγόνασιν [ἐν ὕψει ταῖς Πυραμίσιν] ὃ πέραν ἐν τῇ Ἀραβίᾳ, Τρωϊκόν τι καλεῖται πετρῶδες ἱκανῶς ὄρος, discrepantibus et hic codicibus. Nempe Medic. 3. post λίθων infert ἦν. Verba a Casaubono uncis inclusa in nullo exstant. Pro ὃν πέραν Casaubohiani, i. e. Venet. 2. ὅπερ, Venet. 1. ὃν πέραν, et Medic. 3. πέραν δ᾽ pro πέραν. Equidem locum ad Venetum 2. in primis accommodavi. Tum καὶ ante τούτοις καὶ deest in Medic. 4.

tosi calculis in modum lentis plenus est. Maritimi quoque et fluviales calculi eandem fere ambiguitatem praestant; sed ii propter motum, qui in aqua fit, variam differendi materiam praebent: istic vero indagatio veri est difficilior. Alibi dictum est etiam circa loca in Arabia, ubi lapides effodiuntur, ex queis Pyramides factae sunt, montem quendam esse nomine Troicum, satis petrosum, et speluncam sub eo, et pagum his ac flumini proximum nomine Trojam, antiquam Trojanorum habitationem eorum, qui captivi Menelaum secuti sunt et ibi consederunt.

Aegyptus.

§. 35.

Μετὰ δὲ Μέμφιν Ἄκανθος πόλις ¹ ὁμοίως ἐν τῇ Λιβύῃ, καὶ τὸ τοῦ Ὀσίριδος ἱερὸν, καὶ τὸ τῆς Ἀκάνθης ἄλσος τῆς Θηβαϊκῆς, ἐξ ἧς τὸ κόμμι. Εἶθ' ὁ Ἀφροδιτοπολίτης νομὸς, καὶ ἡ ὁμώνυμος πόλις ἐν τῇ Ἀραβίᾳ, ἐν ᾗ λευκὴ βοῦς ἱερὰ τρέφεται. Εἶθ' ὁ Ἡρακλεώτης νομὸς ἐν νήσῳ μεγάλῃ, καθ' ἣν

1) Vulgo post ὁμοίως sequitur in editionibus ὡς, unde duae cognomines urbes existant; male; cum de una eademque et ejus situ loquatur Strabo. Acute id vidit Salmasius ad Solinum p. m. 376. cui adsentitur Palmerius ad Graec. auct. p. 316. Suffragantur, quod auctoritatem addit, ex codicibus meis Moscov. Medic. 3. 4. et Paris. Post pro Ἀφροδιτοπολίτης Medic. 3. 4. Paris. Venet. 1. 2. et vetus interpres malunt Ἀθροδιτοπολίτης; ac pro Ἡρακλεώτης Paris. perperam Ἡρακλεῶτις. Quod sequitur Ἀρσινοίτης per jota, etsi Moscov. cum priscis editionibus et Stephano praefert η, servandum putavi cum numis. In seqq. pro καλακέρτοις per duplex λ καλλικέρτοις habent Medic. 3. 4. et Moscov. ac pro συγκομίζει Medic. 3. συγκομίζει. Deinde pro Μοίριδος Paris. Moscov. et Medic. 3. 4. dant Μούριδος, et pro τῇ χρόᾳ Moscov. τὴν χρόαν. Denique pro Παραιτονίου dant Paris. et Moscov. Παραιτονίου, ut in aliis auct., de quo dixi ad Melam 1, 8, 2, et inter Σεββανίτιδος et Σεβριανίτιδος variant codd. ut alibi.

§. 35.

Post Memphim est Acanthus civitas similiter in Libyae latere: ibidem Osiridis templum, et Acanthae Thebaicae lucus, unde gummi habetur: postea est Aphroditopolitana praefectura, et civitas eodem nomine in Arabia, in qua bos alba sacra alitur. Sequitur Heracleotica praefectura in insula magna, juxta quam ad dextram

ἣν ἡ διῶρυξ ἐστὶν ἐν δεξιᾷ εἰς τὴν Λιβύην ἐπὶ τὸν Ἀρσινοΐτην νομὸν, ὥστε καὶ δίστομον εἶναι τὴν διώρυγα, μεταξὺ μέρους τινὸς τῆς νήσου παρεμπίπτοντος. Ἔστι δ' ὁ νομὸς οὗτος ἀξιολογώτατος τῶν ἁπάντων κατά τε τὴν ὄψιν καὶ τὴν ἀρετὴν, καὶ τὴν κατασκευήν· ἐλαιόφυτός τε γὰρ μόνος ἐστὶ μεγάλοις καὶ τελείοις δένδρεσι καὶ καλλικάρποις· εἰ δὲ συγκομίζοι καλῶς τις, καὶ εὐέλαιος· ὀλιγωροῦντες δὲ τούτου, πολὺ μὲν ποιοῦσιν ἔλαιον, μοχθηρὸν δὲ κατὰ τὴν ὀδμήν. Ἡ δ' ἄλλη Αἴγυπτος ἀνέλαιός ἐστι, πλὴν τῶν κατ' Ἀλεξάνδρειαν κήπων, οἳ μέχρι τοῦ ἐλαίαν χορηγεῖν ἱκανοί εἰσιν, ἔλαιον δ' οὐχ ὑπουργοῦσιν· οἶνον δὲ οὐκ ὀλίγον ἐκφέρει· σῖτόν τε καὶ ὄσπρια καὶ τἄλλα σπέρματα πάμπολλα. Θαυμαστὴν δὲ καὶ τὴν λίμνην ἔχει τὴν Μοίριδος καλουμένην πελαγίαν τῷ μεγέθει καὶ τῇ χρόᾳ θαλαττοειδῆ· καὶ τοὺς αἰγια- Aegyptus.

dextram in Libycam, aut Arsinoiticam praefecturam fossa est, quae et duo ora habet, cum pars quaedam insulae intercidat. Haec praefectura caeteras omnes, et adspectu, et virtute, et apparatu antecellit. Sola enim oleas perfectas et fructiferas arbores profert, ac si quis bene colligat, oleum etiam optimum fit: negligentes autem rem, multum quidem efficiunt, sed pessimi odoris. At Aegyptus reliqua oleo caret, exceptis hortis, qui circa Alexandriam sunt: qui oleas quidem ferre possunt, oleum vero non suppeditant. At vini non parum fert, frumentum quoque, legumina, et alia semina omnis generis. Habet etiam lacum admirabilem, Moeridis appellatum, pelagi magnitudine, et marino colore,

Aegyptus.

αἰγιαλοὺς δέ ἐστιν ὁρᾷν ἐοικότας τοῖς θαλαττίοις· ὡς ὑπονοεῖν τὰ αὐτὰ περὶ τῶν κατὰ Ἄμμωνα τόπων καὶ τούτων. Καὶ γὰρ οὐδὲ πάμπολυ ἀφεστᾶσιν ἀλλήλων καὶ τοῦ Παραιτονίου, μὴ ὥσπερ τὸ ἱερὸν ἐκεῖνο εἰκάζειν ἐστὶ πρότερον ἐπὶ τῇ θαλάττῃ ἱδρῦσθαι διὰ τὸ πλῆθος τῶν τεκμηρίων, ταῦθ᾽ ὁμοίως τὰ χωρία πρότερον ἐπὶ τῇ θαλάττῃ ὑπῆρχεν. Ἡ δὲ κάτω Αἴγυπτος καὶ τὰ μέχρι τῆς λίμνης τῆς Σερβωνίτιδος πέλαγος ἦν, σύῤῥουν τυχὸν ἴσως τῇ Ἐρυθρᾷ τῇ κατὰ Ἡρώων πόλιν καὶ τὸν Ἐλανίτην μυχόν.

§. 36.

colore, cujus etiam ripas videre eſt maris litoribus perſimiles, ut idem de hoc loco atque iis, qui ſunt circa Ammonem, exiſtimari poſſit. Etenim haud ſane multo a ſe invicem diſtant, atque ambo a Paraetonio, et, ut ex multis deprehendi argumentis poteſt, templum illud prius in litore ſtabat, atque haec loca prius maritima erant. Inferiorem vero Aegyptum, et quae usque ad Serboniticum lacum tendunt, pelagus obtinebat, conjunctum fortaſſe cum mari Rubro, quod Heroum urbi et Elanitico receſſui proximum eſt.

Aegyptus.

§. 36.

Εἴρηται δὲ περὶ τούτων διὰ πλειόνων ἐν τῷ πρώτῳ ὑπομνήματι τῆς [1] γεωγραφίας, καὶ νῦν δ' ἐπὶ τοσοῦτον ὑπομνηστέον τῆς φύσεως ἅμα καὶ τὸ τῆς προνοίας ἔργον εἰς ἓν συμφέροντας. Τὸ μὲν τῆς φύσεως, ὅτι τῶν πάντων εἰς ἓν συννευόντων τὸ τοῦ ὅλου μέσον, καὶ σφαιρούμενον περὶ τοῦτο· καὶ τὸ μὲν πυκνότατον καὶ μεσαίτατόν ἐστιν ἡ γῆ, τὸ δ' ἧττον τοιοῦτον, καὶ ἐφεξῆς τὸ ὕδωρ· ἑκάτερον δὲ p. 810. σφαῖρα, ἡ μὲν στερεά, ἡ δὲ κοίλη, ἐντὸς ἔχουσα τὴν γῆν. [2] Τὸ δὲ τῆς προνοίας, ὅτι βεβούληται καὶ

αὐτὴ

1) Moscov. γεωμετρίας. Post πάντων Paris. et Medic. 3. 4. ἐφ' ἓν pro εἰς ἕν. Tum pro σφαιρούμενον mavult Casaubonus σφαιρουμένων, quod arctius sensum continet. Deinde Medic. 3. 4. ante τὸ μὲν omittit καὶ, et Moscov. vocabulo μεσαίτατον anteponit articulum. In seqq. Venet. 1. 2. et Medic. 4. articulum ante γῆ excludunt; et Moscov. pro τοιοῦτον ponit τὸ τοιοῦτο.

2) Τὸ δὲ delet Moscov. Post pro ποικιλωτέρα codd. mei omnes ποικιλτρία. Deinde scripti i. e. Venet. 2. pro ἄκρα

τὸν

§. 36.

Sed de his in primo geographiae volumine pluribus dictum est. Nunc paucis admonentes naturae simul atque providentiae opus una consideratione perpendemus. Naturae, quia rebus omnibus ad id unum vergentibus, quod universi medium est, et quae circa id sita sunt, medium atque densissimum est terra: minus aqua ea densa est: utrumque globus: sed altera quidem solidus, aqua concava inter sese terram complectens. Providentiae, quod cum varietatis sit cupida et plu-

rimarum

Aegyptus. αὐτὴ ποικιλωτέρα τις οὖσα, καὶ μυρίων ἔργων δημιουργὸς, ἐν τοῖς πρώτοις ζῶα γεννᾷν, ὡς πολὺ διαφέροντα τῶν ἄλλων· καὶ τούτων τὰ κράτιστα θεούς τε καὶ ἀνθρώπους, ὧν ἕνεκεν καὶ τὰ ἄλλα συνέστηκε. Τοῖς μὲν οὖν θεοῖς ἀπέδειξε τὸν οὐρανὸν, τοῖς δ' ἀνθρώποις τὴν γῆν, τὰ ἄκρα τῶν τοῦ κόσμου μερῶν· ἄκρα δὲ τῆς σφαίρας τὸ μέσον, καὶ τὸ ἐξωτάτω. Ἀλλ' ἐπειδὴ τῇ γῇ περίκειται τὸ ὕδωρ, οὐκ ἔστι δ' ἔνυδρον ζῶον ὁ ἄνθρωπος, ἀλλὰ χερσαῖον καὶ ἐναέριον, καὶ πολλοῦ κοινωνικὸν φωτὸς, ἐποίησεν ἐξοχὰς ἐν τῇ γῇ πολλὰς καὶ εἰσοχὰς, ὥστ' ἐν αἷς μὲν ἀπολαμβάνεσθαι τὸ σύμπαν, ἢ καὶ τὸ πλέον ὕδωρ ἀποκρύπτον τὴν ὑπ' αὐτῷ γῆν· ἐν

τῶν τοῦ κόσμου μερῶν, omiſſo articulo, legunt ἄκρα τοῦ κόσμου μέρη. Tum Caſauboniani ἀποκύπτον pro ἀποκρύπτον et pro ἀποκρύπτουσαν, quod ſequitur, Venet. 2. ἀποκρύπτον. In ſeqq. pro δὲ τοσαῦτα Medic. 3. et Moſcov. καὶ τοσαῦτα, Medic. 4. καὶ τὰ τοσαῦτα.

rimarum rerum opifex, in primis animalia creavit, quae longe caeteris antecellunt, atque horum ipſorum praeſtantiſſima deos atque homines, quorum gratia caetera ſunt conſtituta. Diis itaque coelum, hominibus terram incolendam dedit, quae duo mundi extrema ſunt medium ipſum, et id quod ultimum eſt. Enimvero quoniam aqua terram circumdat, homo autem non eſt aquatile animal, ſed terreſtre, aërem multumque lumen percipit: eadem terram multis in locis excitavit, in multis depreſſit: ut alibi tota aqua, vel maxima ejus pars obtineret, et terram ſub ſe occultaret: alibi vero

ἐν αἷς δ' ἐξέχειν τὴν γῆν ἀποκρύπτουσαν ὑφ' ἑαυτῇ τὸ ὕδωρ, πλὴν ὅσον χρήσιμον τῷ ἀνθρωπείῳ γένει, καὶ τοῖς περὶ αὐτὸ ζώοις καὶ φυτοῖς. Ἐπεὶ δ' ἐν κινήσει συνεχεῖ τὰ σύμπαντα, καὶ μεταβολαῖς μεγάλαις, (οὐ γὰρ οἷόν τε ἄλλως τὰ τοιαῦτα, καὶ τοσαῦτα, καὶ τηλικαῦτα, ἐν τῷ κόσμῳ διοικεῖσθαι) ὑποληπτέον, μήτε τὴν γῆν ἀεὶ συμμένειν οὕτως, ὥστ' ἀεὶ τηλικαύτην εἶναι μηδὲν προστιθεῖσαν ἑαυτῇ μηδ' ἀφαιροῦσαν, μήτε τὸ ὕδωρ, μήτε τὴν ἕδραν ἔχειν τὴν αὐτὴν ἑκάτερον, καὶ ταῦτα, εἰς ἄλληλα φυσικωτάτης οὔσης καὶ ἐγγυτάτω τῆς μεταπτώσεως. Ἀλλὰ καὶ τῆς γῆς πολλὴν εἰς ὕδωρ μεταβάλ- Aegyptus.

3) Ante Casaubonum legebatur οὖσαν. Post ἡ μὲν deest γὰρ in Medic. 3. 4. et Moscov. et pro sequent. ἁλμυρὶς Casauboniani et Venet. 2. ἁλμυρά. Tum ex Medic. 3. 4. et Paris. γλυκεῖα posui pro γλυκυῖα, quod vulgo legitur. Voc. πηγὰς, quod sequitur, Moscov. praemittit articulum, τὰς πηγάς. Denique verba καὶ νῦν εἰρῆσθαι in Medic. 3. 4. non leguntur.

vero terra exstaret, atque aquam in se absconderet: nisi quantum hominum generi, caeterisque animalibus, ac stirpibus necessarium videbatur. Iam cum omnia continue moveantur et transmutentur (aliter enim talia totque, ac tanta in mundo recte administrari non possent) existimandum est, nec terram perpetuo ita durare, ut semper tanta sit, nec quicquam ei addatur aut adimatur, nec aquam, nec eandem sedem semper ab iis obtineri: maxime quia transmutationem eis mutuam et propinquissimam addiderit. Proinde terrae multum in aquam con-

Aegyptus. βάλλειν, καὶ τῶν ὑδάτων πολλὰ χερσοῦσθαι τὸν αὐτὸν τρόπον, ὅνπερ καὶ ἐν τῇ γῇ, καθ' ἑαυτὴν τοσαῦται διαφοραί. Ἡ μὲν γὰρ εὔθρυπτος, ἡ δὲ στερεὰ καὶ πετρώδης, καὶ σιδηρῖτις, καὶ οὕτως ἐπὶ τῶν ἄλλων. Ὁμοίως δὲ καὶ ἐπὶ τῆς ὑγρᾶς οὐσίας· ἡ μὲν γὰρ ἁλμυρὶς, ἡ δὲ γλυκεῖα καὶ πότιμος, ἡ δὲ φαρμακώδης καὶ σωτήριος, καὶ ὀλέθριος, καὶ ψυχρὰ καὶ θερμή. Τί οὖν θαυμαστὸν, εἴ τινα μέρη τῆς γῆς, ἃ νῦν οἰκεῖται, θαλάττῃ πρότερον κατείχετο; τὰ δὲ νῦν πελάγη πρότερον ᾠκεῖτο; καθάπερ καὶ πηγὰς τὰς πρότερον ἐκλιπεῖν συνέβη, τὰς δ' ἀνεῖσθαι, καὶ ποταμοὺς καὶ λίμνας. Οὕτω δὲ καὶ ὄρη, καὶ πεδία εἰς ἄλληλα μεταπίπτει, περὶ ὧν καὶ πρότερον εἰρήκαμεν πολλὰ, καὶ νῦν εἰρήσθω.

§. 37.

convertitur: et aquae vicissim multum in terram transmutatur: quemadmodum in terra ipsa per se multae differentiae inveniuntur: cum alia sit fragilis, alia solida, alia petrosa, aut ferrea, alia aliter: atque eodem modo de humoribus alius est salsus, alius dulcis et poculentus, alius salubris et medicam vim habens, alius perniciosus, et frigidus alius, alius calidus. Qui ergo mirum sit, terrae partes aliquas, quae nunc habitantur, olim mari tectas: et quae nunc pelagus sunt, prius habitatas fuisse? quemadmodum de fontibus alii exaruere, alii eruperunt: itemque et flumina, et lacus. Sic vero etiam montes et campos invicem commutari probabile est: de quibus ante copiosius dictum est, nunc isthaec sunto addita.

§. 37.

§. 37. Aegyptus.

Ἡ δ' οὖν ¹ Μοίριδος λίμνη διὰ τὸ μέγεθος καὶ τὸ βάθος ἱκανή ἐστι, κατά τε τὰς ἀναβάσεις τὴν πλημμυρίδα φέρειν, καὶ μὴ ὑπερπολάζειν εἰς τὰ οἰκούμενα καὶ πεφυτευμένα, εἶτα ἐν τῇ ἀποβάσει τὸ πλεονάζον ἀποδοῦσα τῇ αὐτῇ διώρυγι κατὰ θάτερον τῶν στομάτων ἔχειν ὑπολειπόμενον τὸ χρήσιμον πρὸς τὰς ἐποχετείας, καὶ αὐτὴ καὶ ἡ διώρυξ. p. 811. Ταῦτα μὲν φυσικά· ἐπίκειται δὲ τοῖς στόμασιν ἀμφοτέροις τῆς διώρυγος κλεῖθρα, οἷς ταμιεύουσιν οἱ ἀρχιτέκτονες τό, τε εἰσρέον ὕδωρ καὶ τὸ ἐκρέον.

Πρὸς

1) Moſcov. cum Medic. 3. 4. Μοίριδος. Poſt particulam δὲ ante voc. τοῖς στόμασιν et poſt πρός convertunt Medic. 3. 4. in δή. Tum Moſcov. pro τῷ minus recte mavult τό, et ante ſubſequens voc. διώρυγα ponit articulum cum Medic. 3. 4. Vicinum προελθόντι Caſauboniani rejiciunt, poſito παρελθόντι. Deinde ex Caſaubonianis atque ex omnibus meis codd. ὡς ἂν τείχους dedi pro vulgari lectione ὡς ἄν τι τείχους. In ſeqq. Moſcov. et Medic. 3. 4. μονολίθῳ pro μονολίθου, et poſt ὕλης Pariſ. diviſe οὐ δὲ μιᾶς pro οὐδεμιᾶς, quodque vocabulum ante Caſaub. praepoſitum erat voci ὕλης, quae nunc antecedit.

§. 37.

Moeridis itaque lacus tum propter magnitudinem, tum propter profunditatem ſub Nili incrementa excipiendae inundationi ſufficit, ne aquae in ſata et habitationes exundent: poſtea decreſcente Nilo, abundantem in ſe aquam foſſae adminiculo reddit per utrumque os utilem irrigationibus. Idem praeſtat et foſſa: atque haec quidem naturalia ſunt. Utrique autem foſſae oſtio clauſtra impoſita ſunt, quibus architecti et influenti et effluenti aquae moderantur. Ad-

Πρὸς δὲ τούτοις ἡ τοῦ λαβυρίνθου κατασκευὴ πάρισον ταῖς πυραμίσιν ἐςὶν ἔργον, καὶ ὁ παρακείμενος τάφος τοῦ κατασκευάσαντος βασιλέως τὸν λαβύρινθον. Ἔςι δὲ τῷ κατὰ τὸν πρῶτον εἴσπλουν τὸν εἰς διώρυγα προελθόντι ὅσον τριάκοντα ἢ τετταράκοντα ςαδίους ἐπίπεδόν τι τραπεζῶδες χωρίον, ἔχον κώμην τε καὶ βασίλειον μέγα ἐκ πολλῶν βασιλέων, ὅσοι πρότερον ἦσαν νομοί· τοσαῦται γάρ εἰσιν αὐλαὶ περίςυλοι συνεχεῖς ἀλλήλαις, ἐφ᾽ ἕνα ςίχον πᾶσαι καὶ ἐφ᾽ ἑνὸς τοίχου, ὡς ἂν τείχους μικροῦ προκειμένας ἔχοντες τὰς αὐλάς· αἱ δ᾽ εἰς αὐτὰς ὁδοὶ καταντικρὺ τοῦ τείχους εἰσί· πρόκεινται δὲ τῶν εἰσόδων κρυπταί τινες μακραὶ καὶ πολλαὶ, δι᾽ ἀλλήλων ἔχουσαι σκολιὰς τὰς ὁδοὺς, ὥςτε χωρὶς ἡγεμόνος μηδενὶ τῶν ξένων εἶναι δυνατὴν τὴν εἰς ἑκάςην αὐλὴν πάροδόν τε καὶ ἔξοδον. Τὸ δὲ θαυμαςὸν, ὅτι αἱ

haec est labyrinthi fabrica, opus haud impar pyramidibus, et adjacens regis sepultura ejus, qui labyrinthum construxit. Locus autem in primo fossae ingressu ad triginta quadragintave stadia procedenti est planities quaedam mensali forma, pagum habens, et multorum regum regiam, quot prius praefecturae erant. Nam totidem aulae sunt columnis ambitae, invicem continuae, omnes uno ordine, et uno pariete, tanquam parvo quodam muro, ante se sitas aulas habent. Viae vero, quae ad eas tendunt, ex adverso sunt ipsius muri, ante ingressus cryptae quaedam multae ac longae, quae inter se vias flexuosas habent, ut nemo peregrinus ingredi aulam ullam possit, nec egredi sine duce. Dignum admiratione, quod uniuscujus-

αἱ στέγαι τῶν οἴκων ἑκάστου μονόλιθοι· καὶ τῶν κρυπτῶν τὰ πλάτη μονολίθοις ὡσαύτως ἐστέγασται πλαξὶν, ὑπερβαλλούσαις τὸ μέγεθος, ξύλων οὐδαμοῦ καταμεμιγμένων οὐδ' ἄλλης ὕλης οὐδεμιᾶς· ἀναβάντα τε [2] ἐπὶ τὸ στέγος, οὐ μεγάλῳ ὕψει, ἅτε μονοστέγῳ, ἔστιν ἰδεῖν πεδίον λίθινον ἐκ τηλικούτων λίθων· ἐντεῦθεν δὲ πάλιν εἰς τὰς αὐλὰς ἐκπίπτοντα, ἑξῆς ὁρᾶν κειμένας ὑπὸ μονολίθων κιόνων ὑπηρεισμένας ἑπτὰ καὶ εἴκοσι· καὶ οἱ τοῖχοι δὲ οὐκ ἐξ ἐλαττόνων τῷ μεγέθει λίθων σύγκεινται Aegyptus.

2) Ante hoc voc. Moscov. Paris. et Medic. 3. 4. ponunt ἐστιν, male quidem, cum ante ἰδεῖν non removeant. Post vulgo in editionibus fertur ὑπερεισμένας, quod Wesselingius ad Diodor. Sic. 1, 47. recte emendat in ὑπηρεισμένας, adjutus praeterea codd. Moscov. Paris. et Medic. 3. 4. Tum Medic. 3. mutat τετράπλεθρον in τετράπλευρον et Moscov. omittit ἐξ ante ἐλαττόνων. Paris. et Medic. 3. 4. mutato ordine struit verba: τὸ ἴσον ὕψος pro τὸ ὕψος ἴσον. Deinde pro Ἰμάνδης in epitoma est Μαίνδης. Cf. omnino de h. l. diligenter disputans Wesselingius ad Diodorum 1, 61. Denique ante τῶν μεγίστων inserui περὶ ex codd. Moscov. Paris. et Medic. 3. 4. quod vulgo abest.

cujusque domus tabulata, atque etiam cryptarum latitudines ex lapideis pluteis integris, et magnitudine insolenti constructae sunt, nullo usquam nec ligni, nec alius materiae interventu: Ac si quis in tabulatum ascendat; quod non admodum altum est, quippe unica contentum contignatione, videre potest lapideum campum tantis lapidibus instratum: inde ad aulas visu retorto, cernere deinceps eas XXVII, ordine positas, et columnis e solido lapide innitentes, parietes quoque ipsos ex lapidibus non

Aegyptus, θεν ἐπὶ τὴν λίμνην, κομίζων ἀπὸ τοῦ δείπνου πλακουντάριόν τι καὶ κρέας ὀπτὸν, καὶ προχοΐδιόν τι μελικράτου· εὕρομεν δὲ ἐπὶ τῷ χείλει κείμενον τὸ θηρίον· προσιόντες δὲ οἱ ἱερεῖς, οἱ μὲν διέστησαν αὐτοῦ τὸ στόμα, ὁ δὲ ἐνέθηκε τὸ πέμμα, καὶ πάλιν τὸ κρέας, εἶτα τὸ μελίκρατον [2] κατήρασε· καθαλόμενος δὲ εἰς τὴν λίμνην, διῇξεν εἰς τὸ πέραν· ἐπελθόντος δὲ καὶ ἄλλου τῶν ξένων, κομίζοντος ὁμοίως ἀπαρχὴν, λαβόντες περιῆλθον δρόμῳ, καὶ καταλαβόντες προσήνεγκαν ὁμοίως τὰ προσενεχθέντα.

§. 39.

2) Κατηρᾶν est solo illidere; affine voci ἐξεράν (et voci ἀπερᾶν) qua libro primo usus est. In epitome exponitur κατέπιεν, male. Sed aliter fortasse scribendum. *Casaub.* Post διῇξεν dedi, cum jota subscripto, quod vulgo omittitur, et de quo vide D'Orville ad Chariton. III. p. 257 seq.

monstrabat, ad lacum una accedens, placentulam, et carnem assam, et quoddam mulsi vasculum e coena attulit. Bestiam in ripa lacus invenimus: ex sacerdotibus alii ejus os aperuerunt, alius placentam ingessit, postea carnem, deinde mulsum infudit: ille in lacum desiliens, in ulteriorem partem trajecit: cumque alius hospes advenisset, et similiter primitias attulisset, cursu lacum circumeuntes itidem invento crocodilo obtulerunt.

§. 39.

Aegyptus.

§. 39. r)

Μετὰ δὲ τὸν Ἀρσινοΐτην καὶ τὸν Ἡρακλεωτικὸν νομὸν Ἡρακλέους πόλις, ἐν ᾗ ὁ ἰχνεύμων τιμᾶται ὑπεναντίως τοῖς Ἀρσινοΐταις· οἱ μὲν γὰρ τοὺς κροκοδείλους τιμῶσι, καὶ διὰ τοῦτο ἥ τε διῶρυξ αὐτῶν μεστή ἐστι τῶν κροκοδείλων, καὶ ἡ τοῦ Μοίριδος λίμνη· σέβονται γὰρ καὶ ἀπέχονται αὐτῶν· οἱ δὲ τοὺς ἰχνεύμονας τοὺς ὀλεθριωτάτους τοῖς κροκοδείλοις, καθάπερ καὶ ταῖς ἀσπίσι· καὶ γὰρ τὰ ᾠὰ διαφθεί-

r) Sic dedi pro Ἀρσινοΐτην ex Moscov. Medic. 3. suffragantibus numis; cf. supra. Steph. quidem etiam vulgatam scripturam exhibet. At Ἀρσινοΐτη, quod Medic. 4. habet, probari non potest. Post pro δὲ ante τὸν Ἡρακλεωτικὸν Moscov. Paris. Medic. 3. 4. et Venet. 1. ponunt καί, ex quibus recepi. Tum verba μεστή ἐστι inverso ordine exhibent Moscov. et Medic. 3. 4. et pro subsequenti Μοίριδος iidem malunt Μούριδος, contra morem usitatum. In seqq. pro διαφθείρουσιν Venet. 2. minus bene adfert διαφέρουσιν. Post ex omnibus codd. et meis et Casaubon. reposui θεραπευθέντες et κολασθέντες, cum vulgo neutrum, θεραπευθέντα et κολασθέντα, exhibeatur. Ante αὐτῷ praeponitur ἐν in Moscov. et Medic. 3. 4.

§. 39.

Post Arsinoiticam Heracleoticamque praefecturam est Herculis civitas, in qua colitur ichneumon: contra morem Arsinoitarum. Hi enim crocodilos colunt, et propterea fossam habent crocodilis plenam, et Moeridis lacum, illos venerantur, et ab iis abstinent. Heracleotae autem ichneumones, qui crocodilis et aspidibus perniciosissimi sunt: nam et earum ova delent,

Aegyptus. διαφθείρουσιν αὐτῶν, καὶ αὐτὰ τὰ θηρία τῷ πηλῷ. θωρακισθέντες· κυλισθέντες γὰρ αὐτῷ, ξηραίνονται πρὸς τὸν ἥλιον· εἶτα τὰς ἀσπίδας μὲν ἢ τῆς κεφαλῆς ἢ τῆς οὐρᾶς λαβόμενοι, κατασπῶσιν εἰς τὸν ποταμὸν, καὶ διαφθείρουσι· τοὺς δὲ κροκοδείλους ἐνεδρεύσαντες, ἡνίκ' ἂν ἡλιάζωνται κεχηνότες, ἐμπίπτουσιν εἰς τὰ χάσματα, καὶ διαφαγόντες τὰ σπλάγχνα καὶ τὰς γαστέρας, ἐκδύνουσιν ἐκ νεκρῶν τῶν σωμάτων.

§. 40.

Ἑξῆς δ' ἐστὶν ὁ Κυνοπολίτης νομὸς, καὶ Κυνῶν πόλις, ἐν ᾗ ὁ Ἄνουβις τιμᾶται, καὶ τοῖς κυσὶ τιμὴ καὶ σίτισις τέτακταί τις ἱερά. Ἐν δὲ τῇ περαίᾳ Ὀξύρυγχος πόλις, καὶ νομὸς ὁμώνυμος· τιμῶσι δὲ τὸν Ὀξύρυγχον, καὶ ἔστιν αὐτοῖς ἱερὸν Ὀξυρύγχου, καίτοι καὶ τῶν ἄλλων Αἰγυπτίων κοινῇ τιμώντων

τὸν

delent, et ipsas bestias interficiunt luto armati, quo se involverunt, et postea ad solem exsiccato, aspides capite aut cauda arreptas in flumen trahunt atque occidunt. Crocodilos insidiose observant; quando ii se, rictu diducto, soli exponunt; tum in ora eorum intrant, et exesis visceribus, e ventre mortuorum egrediuntur.

§. 40.

Sequitur Cynopolitana praefectura, et Canum urbs, in qua Anubis colitur, et honor et sacer quidam cibus canibus est constitutus. In ulteriore regione est Oxyrynchus civitas, et praefectura eodem nomine. Hic Oxyrynchus colitur, et Oxyrynchi templum est, quamvis etiam ceteri Aegyptii

τὸν Ὀξύρυγχον. Τινὰ μὲν γὰρ τῶν ζώων [1] ἅπαν- Aegyptus.
τες κοινῇ τιμῶσιν Αἰγύπτιοι, καθάπερ τῶν πεζῶν μὲν τρία, βοῦν, κύνα, αἴλουρον· τῶν δὲ πτηνῶν δύο, ἱέρακα καὶ ἶβιν· τῶν δ' ἐνύδρων δύο, λεπιδωτὸν ἰχθὺν καὶ ὀξύρυγχον· ἄλλα δ' ἐστιν, ἃ τιμῶσι καθ' ἑαυτοὺς ἕκαστοι, καθάπερ Σαῗται πρόβατον, καὶ Θηβαῗται· λάτον δὲ τὸν ἐν τῷ Νείλῳ τινὰ ἰχθὺν, Λατοπολῖται· λύκον τε Λυκοπολῖται· Κυνοκέφαλον δὲ Ἑρμοπολῖται. Κῆπον δὲ Βαβυλώνιοι οἱ κατὰ Μέμφιν· ἔστι δ' ὁ κῆπος τὸ μὲν πρόσωπον ἐοικὼς Σατύρῳ, τἄλλα δὲ κυνὸς καὶ ἄρκτου μεταξύ· γεννᾶ-

1) Poſt hoc voc. Moſcov. γὰρ inſerit, et cum Mediceo 3. 4. paulo poſt ordinem verborum πεζῶν μὲν invertit, quibus ita mutatis Venet. 2. et Pariſ. etiam pro τρία malunt τριῶν. Tum pro λεπιδωτόν Moſcov. vult λεπιδωτῶν. In voce ὀξύρυγχον primam literam omittit Pariſ. Pro τε poſt voc. λύκον Moſcov. dat δέ. Poſt in ſcribenda voce diſſentiunt codd. Nempe Moſcov. Medic. 3. Pariſ. et Venet. 2. volunt κῆβον, reliqui vulgatam probant. Cf. de hac duplici lectione quae notata ſunt lib. XVI. p. m. 422.

ptii omnes Oxyrynchum piſcem colant. Sunt etiam quaedam animalia, quae Aegyptii univerſi colunt, ut de terreſtribus tria, bovem, canem, felem: e volatilibus accipitrem atque ibim: ex aquatilibus duo, lepidotum (*id eſt ſquammatum*) piſcem et Oxyrynchum. Sunt et quae ſeorſum coluntur. Sic Saitae et Thebani ovem: Latum vero, qui piſcis quidam eſt in Nilo, Latopolitani: lupum Lycopolitani, Cynocephalum Hermopolitani, Cepum Babylonii, qui ſunt juxta Memphim. Cepus faciem habet Satyro ſimilem, caetera inter canem atque

Aegyptus. γεννᾶται δ' ἐν Αἰθιοπίᾳ· ἄρκτον δὲ Θηβαῖοι, λέοντα δὲ Λεοντοπολῖται, αἶγα δὲ καὶ τράγον Μενδήσιοι, μυγάλην δὲ Ἀθριβῖται, ἄλλοι δ' ἄλλό τι· τὰς δ' αἰτίας οὐχ ὁμολογουμένας λέγουσιν.

p. 813.

§. 41.

Ἑξῆς δ' ἐστὶν Ἑρμοπολιτικὴ φυλακή, τελώνιόν τι τῶν ἐκ τῆς Θηβαΐδος καταφερομένων· ἐντεῦθεν ἀρχὴ τῶν [1] ἑξηκοντασταδίων σχοίνων, ἕως Συήνης καὶ Ἐλεφαντίνης· εἶτα ἡ Θηβαϊκὴ φυλακή, καὶ διῶρυξ φέρουσα ἐπὶ Τάνιν· εἶτα Λύκων πόλις, καὶ Ἀφροδίτης, καὶ Πανῶν πόλις, λινουργῶν καὶ λιθουργῶν κατοικία παλαιά.

§. 42.

1) σταδίων expungitur in Medic. 3.

atque ursum: in Aethiopia nascitur. Aquilam Thebani, leonem Leontopolitani, capram et hircum Mendesii, murem araneum (si quidem hoc est mygale Graecorum) Athribitae, alii aliud. Causas vero afferunt inter se non consentientes.

§. 41.

Deinceps est Hermopolitanum castellum, ubi vectigal exigitur earum rerum, quae e Thebaide deferuntur. Hinc usque ad Syenem et Elephantinam stadia LX unusquisque continentes schoeni incipiunt. Postea Thebaicum custodiae destinatum castellum, custodia et fossa, quae Tanim defert. Hinc luporum urbs, Lycopolis, aliaque Veneris, tum Panopolis, antiqua habitatio hominum, linificium et lapidum opera exercentium.

§. 42.

§. 42. Aegyptus.

Ἔπειτα Πτολεμαϊκὴ πόλις, μεγίστη τῶν ἐν τῇ [1] Θηβαΐδι, καὶ οὐκ ἐλάττων Μέμφεως, ἔχουσα καὶ σύστημα πολιτικὸν ἐν τῷ Ἑλληνικῷ τρόπῳ. Ὑπὲρ δὲ ταύτης ἡ Ἄβυδος, ἐν ᾗ τὸ Μεμνόνειον βασίλειον θαυμαστῶς κατεσκευασμένον, ὁλόλιθον τῇ αὐτῇ κατασκευῇ, ἧπερ τὸν λαβύρινθον ἔφαμεν, οὐ πολλαπλοῦν δέ· καὶ κρήνην ἐν βάθει κειμένην, ὥστε καταβαίνειν εἰς αὐτὴν κατακαμφθεισῶν ψαλίδων διὰ μονολίθων ὑπερβαλλόντων τῷ μεγέθει καὶ τῇ κατασκευῇ. Ἔστι δὲ διῶρυξ ἡ ἄγουσα ἐπὶ τὸν τόπον ἀπὸ τοῦ μεγάλου ποταμοῦ. Περὶ δὲ τὴν διώρυγα ἀκανθῶν τῶν Αἰγυπτίων ἄλσος ἐστὶν ἱερὸν τοῦ Ἀπόλλωνος.

1) Medic. 3. Θηβαϊκῇ. Tum pro Μεμνόνειον Medic. 3. et Parif. Μεμνόνιον, ut infra. Poft pro κατακαμφθεισῶν Cafauboniani i. e. Venet. 2. κατεβαφεισῶν, male. Cf. Weffeling. ad Diodor. II, 9. Deinde pro λευτέρουσα Medic. 3. 4. et Venet. 1. δευτερεύουσα. In feqq. pro Ἰσμάνδης Medic. 3. 4. Ἰμάνδης et Venet. 2. Μάνδης.

§. 42.

Poft eam Ptolemais, civitas omnium maxima, quae in Thebaide funt, et Memphi non minor: quae etiam Graeco more inftitutam habet civitatem. Supra hanc eft Abydus, in qua eft Memnonis regia mirifice ftructa e folido lapide, quemadmodum diximus de labyrintho, etfi non ita multiplex. Eft et fons quidam ibi in profundo pofitus, in quem per cochleas defcenditur, ex integris lapidibus, et magnitudine, et ftructura excellentibus. Eft etiam foffa, quae ex magno flumine in hunc locum deducit. Circa foffam eft fpinarum Aegyptiarum lucus Apollini facer. Abydus

Aegyptus. λωνος. Ἔοικε δὲ ὑπάρξαι ποτὲ ἡ Ἄβυδος πόλις μεγάλη, δευτερεύουσα μετὰ τὰς Θήβας· νυνὶ δ' ἐστὶ κατοικία μικρά· εἰ δ', ὡς φασὶν, ὁ Μέμνων ὑπὸ τῶν Αἰγυπτίων Ἰσμάνδης λέγεται, καὶ ὁ λαβύρινθος Μεμνόνειον ἂν εἴη καὶ τοῦ αὐτοῦ ἔργον, οὗπερ καὶ τὰ ἐν Ἀβύδῳ, καὶ τὰ ἐν Θήβαις· καὶ γὰρ ἐκεῖ λέγεταί τινα Μεμνόνεια. Κατὰ δὲ τὴν Ἄβυδόν ἐστιν ἡ πρώτη Αὔασις ἐκ τῶν λεχθεισῶν τριῶν ἐν τῇ Λιβύῃ, διέχουσα ὁδὸν ἡμερῶν ἑπτὰ ἐνθένδε δι' ἐρημίας, εὔυδρός τε κατοικία καὶ εὔοινος, καὶ τοῖς ἄλλοις ἱκανή· δευτέρα δ' ἡ κατὰ τὴν Μοίριδος λίμνην· τρίτη δὲ ἡ κατὰ τὸ μαντεῖον τὸ ἐν Ἄμμωνι· καὶ αὗται δὲ κατοικίαι εἰσὶν ἀξιόλογοι.

§. 43.

2) Moscov. et Parif. per fimplex jota efferri malunt, uti paulo ante et deinceps. Tum Αὔασις dedi, ut vult cod. Moscov., cujus fcripturam confirmat Stephanus h. v. Parifienfis quoque huc valet, promifcua utriusque literae pronuntiatione: habet enim Ἄβασις. Vulgo in editt. fertur Ἄυασις. Poft pro Μοίριδος Medic. 3. 4. Mofcov. et Parif. Μοίριδος exhibent, uti fupra.

dus olim urbs magna videtur fuiffe, primo poft Thebas loco: nunc in parvum pagum redacta eft. Quod fi (ut nonnulli fentiunt) Memnon ab Aegyptiis Ifmandes dicitur: etiam Labyrinthus Memnonius erat, et eiusdem opus, cujus Abydenfia et Thebana, nam et ibi quaedam Memnonia dicuntur. Secundum Abydum eft prima Auafis ex tribus, quae funt in Africa, diffita inde iter dierum feptem: habitatio aquis et vino abundans, neque aliarum etiam rerum indiga. Secunda eft juxta Moeridis lacum. Tertia eft Ammonis oraculo proxima: hae quoque optimae habitationes funt.

§. 43.

§. 43.

Aegyptus.

Πολλὰ δ' εἰρηκότες περὶ τοῦ Ἄμμωνος, τοσοῦτον εἰπεῖν βουλόμεθα· ὅτι τοῖς ἀρχαίοις μᾶλλον ἦν ἐν τιμῇ, καὶ ἡ μαντικὴ καθόλου, καὶ τὰ χρηστήρια· νυνὶ δ' ὀλιγωρία κατέχει πολλή, τῶν Ῥωμαίων ἀρκουμένων [1] τοῖς Σιβύλλης χρησμοῖς, καὶ τοῖς Τυῤῥηνικοῖς θεοπροπίοις, διά τε σπλάγχνων, καὶ ὀρνιθείας, καὶ διοσημείων. Διόπερ καὶ τὸ ἐν Ἄμμωνι σχεδόν τι ἐκλέλειπται χρηστήριον, πρότερον δὲ ἐτετίμητο. Δηλοῦσι δὲ μάλιστα τοῦτο οἱ τὰς Ἀλεξάνδρου πράξεις ἀναγράψαντες, προστιθέντες μὲν πολὺ καὶ τὸ τῆς κολακείας εἶδος, ἐμφαίνοντες δ' ὅ, τι καὶ πίστεως ἄξιον. Ὁ γοῦν Καλλισθένης φησὶ

1) Moscov. et Medic. 3. τῆς pro τοῖς. Tum in ὀρνιθείας Moscov. praefert in penultima simplex iota. Post pro δ' ὅτι Medic. 3. δ' ἔτι, et mox ante ἐπὶ omittit τε cum Medic. 4. In seqq. Medic. 3., extruso ε, ἤκουε pro ἤκουεν. Deinde pro Παραιτονίου Paris., per ω, Παραιτωνίου.

§. 43.

Multis a nobis de Ammone dictis, id tantum adiicimus: veteribus et divinationem universam, et oracula in summo fuisse honore, nunc eadem admodum negligi, Romanis in Sibyllae oraculis et Etrusca divinatione per extispicia, auguria et servationes de coelo adquiescentibus. Itaque Ammonis oraculum fere desertum est, quod in honore quondam fuerat. Id ii in primis declarant, qui Alexandri res conscripserunt, qui quanquam adulandi gratia non pauca adjecerunt, indicant tamen, quae credenda sint. Callisthenes narrat, Alexandrum ambitione quadam

Aegyptus. p. 814. φησὶ τὸν Ἀλέξανδρον φιλοδοξῆσαι μάλιστα, ἀνελθεῖν τε ἐπὶ τὸ χρηστήριον, ἐπειδὴ καὶ Περσέα ἤκουσε πρότερον ἀναβῆναι καὶ Ἡρακλέα· ὁρμήσαντα δ' ἐκ Παραιτονίου, καίπερ νότων ²ἐπιπεσόντων, βιάσασθαι· πλανώμενον δ' ὑπὸ τοῦ κονιορτοῦ σωθῆναι, γενομένων ὄμβρων, καὶ δυοῖν κοράκων ἡγησαμένων τὴν ὁδὸν, ἤδη τούτων κολακευτικῶς λεγομένων· τοιαῦτα δὲ καὶ τὰ ἑξῆς· μόνῳ γὰρ [δὲ] τῷ βασιλεῖ τὸν ἱερέα ἐπιτρέψαι παρελθεῖν εἰς τὸν νεὼν μετὰ τῆς συνήθους στολῆς, τοὺς δ' ἄλλους μετενδῦναι τὴν ἐσθῆτα, ἔξωθέν τε τῆς θεμιστείας ἀκροάσασθαι πάντας πλὴν Ἀλεξάνδρου, τοῦτον δ' ἔνδοθεν εἶναι·

οὐχ

2) Venet. 1. Medic. 4. et Caſauboniani malunt ἐμπεσόντων; ac trajectis voc. Moſcov. hunc ordinem praeit: ἐπιπεσόντων νότων. Poſt Pariſ. Moſcov. quemadmodum ſit alibi, δυεῖν, per ει, edunt pro δυοῖν. Tum pro κολακευτικῶς Moſcov. Pariſ. et Venet. 2. ſubſtituunt κολακικῶς. In ſeqq. Medic. 3. 4. et Venet. 1. 2. pro μόνῳ γὰρ δὲ malunt μόνῳ γὰρ δὴ, ut crebro. Deinde pro ἔξωθέν τε Pariſ. perperam ἐξωθέντες, ex adhaerenti vocula proxima.

dam inductum ad id oraculum contendiſſe, quod intelligeret, Perſeum et Herculem prius eo adſcendiſſe, atque e Paraetonio profectum, quamvis auſtrinis incidentibus flatibus, pertendiſſe, et cum per pulverem vagaretur, imbrium ſuperventu et duorum corvorum, qui iter commonſtrarent, ſervatum eſſe: quae ipſa jam adulatorie dicuntur: ſimilia ſunt, quae ſequuntur. Soli ſcilicet regi a ſacerdote conceſſum, ut in templum ingrederetur habitu conſueto: caeteros veſtem mutare juſſos, et foris omnes oraculum audiviſſe, demto Alexandro,

qui

οὐχ ὥσπερ ἐν Δελφοῖς καὶ Βραγχίδαις τὰς ἀποθεσπίσεις διὰ λόγων, ἀλλὰ ³ νεύμασι καὶ συμβόλοις τὸ πλέον, ὡς καὶ παρ' Ὁμήρῳ· Aegyptus.

Ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων,

τοῦ προφήτου τὸν Δία ὑποκρινομένου· τοῦτο μέντοι ῥητῶς εἰπεῖν τὸν ἄνθρωπον πρὸς τὸν βασιλέα, ὅτι εἴη Διὸς υἱός. Προστραγῳδεῖ δὲ τούτοις ὁ Καλλισθένης, ὅτι τοῦ Ἀπόλλωνος τὸ ἐν Βραγχίδαις μαντεῖον ἐκλελοιπότος, ἐξ ὅτου τὸ ἱερὸν ὑπὸ τῶν Βραγχιδῶν σεσύλητο ἐπὶ Ξέρξου περσισάντων, ἐκλελοιπυίας δὲ καὶ τῆς κρήνης, τότε ἥ τε κρήνη ἀνάσχοι, καὶ μαν-

3) Vulgo ante Casaub. ἐννεύμασι. Tum pro ὑποκρινομένου Moscov. Paris. et Medic. 3. 4, forte rectius: ὑποκριναμένου. Post pro Προστραγῳδεῖ ante Casaub. in editt. exstabat, suspenso nexu: Προσετραγῴδησεν. Deinde Medic. 3 post Ἀπόλλωνος affert τοῦ ἐν pro τὸ ἐν; et sic deinceps μαντείου pro μαντεῖον. In seqq. pro Βραγχιδῶν vitiose Βραγχύδων, per υ, Parisiensis.

qui ingressus intro fuerit. Responsa ἀρα, ut apud Delphos et Branchidas, verbis dari, sed magna ex parte nutu et signis, quemadmodum apud Homerum:

Dixit, caeruleisque superciliis pater almus
Annuit. —

